# ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΛΟΥΚΑΝ

*Dedicatory*

**1:1** Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν
πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, **2** καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς
αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, **3** ἔδοξεν κἀμοί, παρηκολουθηκότι
Ἄνωθεν πᾶσιν, ἀκριβῶς καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε, **4** ἵνα ἐπιγνῷς περὶ
ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν.

## The birth of John the baptizer foretold

**1:5** Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου, τοῦ[s] βασιλέως τῆς Ἰουδαίας, ἱερεύς τις ὀνόματι
Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ[t] ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ
ὄνομα αὐτῆς Ἐλισάβετ. **6** Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον[u] τοῦ Θεοῦ,
πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασιν τοῦ Κυρίου ἄμεμπτοι. **7** Καὶ
οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν[v] στεῖρα· καὶ ἀμφότεροι προβεβηκότες ἐν
ταῖς ἡμέραις αὐτῶν ἦσαν.

*The setting*

**8** Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι[w] τοῦ
Θεοῦ, **9** κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχεν τοῦ θυμιᾶσαι εἰσελθὼν εἰς τὸν ναὸν τοῦ
Κυρίου· **10** καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν[x] προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ
θυμιάματος. **11** Ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου
τοῦ θυμιάματος· **12** καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ᾽ αὐτόν.

*Gabriel delivers*

**13** Εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος· «Μὴ φοβοῦ, Ζαχαρία, διότι εἰσηκούσθη ἡ
δέησίς σου, καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
Ἰωάννην. **14** Καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει[y] αὐτοῦ
χαρήσονται· **15** ἔσται γὰρ μέγας ἐνώπιον τοῦ[z] Κυρίου· καὶ οἶνον καὶ σίκερα οὐ μὴ
πίῃ· καὶ Πνεύματος Ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. **16** Καὶ πολλοὺς
τῶν υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν· **17** καὶ αὐτὸς προελεύσεται
ἐνώπιον Αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιού, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ
τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον.»

*Zacharias doubts*

**18** Καὶ εἶπεν Ζαχαρίας πρὸς τὸν ἄγγελον· «Κατὰ τί γνώσομαι τοῦτο; Ἐγὼ γάρ εἰμι
πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.» **19** Καὶ ἀποκριθεὶς ὁ
ἄγγελος εἶπεν αὐτῷ· «Ἐγώ εἰμι Γαβριήλ, ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ

---

[s] του **f**$^{35}$ A,C,D [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [1%] NU
[t] η γυνη αυτου **f**$^{35}$ A [98.6%] CP,HF,RP,TR,OC ¦ 2 αυτω ℵB,C,D,W [1.4%] NU
[u] ενωπιον **f**$^{35}$ A,D,W [99.4%] CP,HF,RP,TR,OC ¦ εναντιον ℵB,C [0.6%] NU
[v] η ελισαβετ ην **f**$^{35}$ A,C [92.9%] CP,HF,RP,TR,OC ¦ ~ 312 ℵD [2.3%] NU ¦ 23 [4.4%] ¦ ~ 32 B,W [0.4%]
[w] εναντι **f**$^{35}$ B,D,W [80%] CP,HF,RP,TR,OC,NU ¦ εναντιον ℵA,C [20%]
[x] του λαου ην **f**$^{35}$ A,C,D [45%] CP,TR ¦ ~ 312 ℵB,W [55%] HF,RP,OC,NU (The verb works with the participle in a periphrastic construction; the reading of A,C,D is the more natural, by far.)
[y] γεννησει **f**$^{35}$ [70%] CP,HF,RP,TR,OC ¦ γενεσει ℵA,B,C,D,W [30%] NU
[z] του **f**$^{35}$ B,D,W [80%] CP,HF,RP,TR,OC[NU] ¦ --- ℵA,C [20%]

ἀπεστάλην λαλῆσαι πρός σε καὶ εὐαγγελίσασθαί σοι ταῦτα. **20** Καὶ ἰδού, ἔσῃ σιωπῶν
καὶ μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ᾽ ὧν οὐκ ἐπίστευσας
τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.»

*Zacharias punished*

**21** Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν
ἐν τῷ ναῷ.[a] **22** Ἐξελθὼν δὲ οὐκ ἠδύνατο[b] λαλῆσαι αὐτοῖς, καὶ ἐπέγνωσαν ὅτι
ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ—καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενεν κωφός.
**23** Καὶ ἐγένετο, ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν
οἶκον αὐτοῦ.

**24** Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ
περιέκρυβεν ἑαυτὴν μῆνας πέντε· λέγουσα **25** ὅτι «Οὕτως μοι πεποίηκεν ὁ[c] Κύριος ἐν
ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ[d] ὄνειδός μου ἐν ἀνθρώποις.»

## The birth of Jesus foretold—5 BC

**1:26** Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ[e] τοῦ Θεοῦ εἰς πόλιν
τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρέτ,[f] **27** πρὸς παρθένον μεμνηστευμένην[g] ἀνδρὶ ᾧ ὄνομα
Ἰωσήφ, ἐξ οἴκου[h] Δαυίδ· καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. **28** Καὶ εἰσελθὼν ὁ
ἄγγελος πρὸς αὐτὴν[i] εἶπεν, «Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη
σὺ ἐν γυναιξίν.»[j] **29** Ἡ δὲ ἰδοῦσα[k] διεταράχθη ἐπὶ τῷ λόγῳ[l] αὐτοῦ,[m] καὶ διελογίζετο
ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος.

*Gabriel delivers*

**30** Καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· «Μὴ φοβοῦ, Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ
Θεῷ. **31** Καὶ ἰδού, συλλήψῃ[n] ἐν γαστρὶ καὶ τέξῃ Υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
Ἰησοῦν. **32** Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται· καὶ δώσει αὐτῷ
Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ· **33** καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον
Ἰακὼβ εἰς τοὺς αἰῶνας· καί, τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.»

*Mary agrees*

**34** Εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, «Πῶς ἔσται[o] τοῦτο, ἐπεὶ ἄνδρα οὐ
γινώσκω;» **35** Καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· «Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ

---

[a] αυτον εν τω ναω **f**[35] אA,C,D [96.6%] CP,HF,RP,TR,OC ¦ ~ 2341 B,W [1%] NU ¦ 1 [2.4%]
[b] ηδυνατο **f**[35] C,D,W [93%] CP,HF,RP,TR,OC ¦ εδυνατο אA,B [7%] NU (Attic or Koine?)
[c] ο **f**[35] A,B [99.3%] CP,HF,RP,TR,OC ¦ --- אC,D,W [0.7%] NU
[d] το **f**[35] A,C [98.8%] CP,HF,RP,TR,OC ¦ --- אB,D,W [1.2%] NU
[e] υπο **f**[35] A,C,D [98.4%] CP,HF,RP,TR,OC ¦ απο אB,W [1.6%] NU
[f] ναζαρετ **f**[35] אB,D,W [69%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ (C) [29.5%] NU ¦ ναζαραθ A [1.5%]
[g] μεμνηστευμενην **f**[35] C [99.6%] CP,HF,RP,TR,OC ¦ εμνηστευμενην אA,B,W [0.3%] NU ¦ μεμνησμενην D [alone]
[h] οικου **f**[35] A,B,D,W [88%] CP,HF,RP,TR,OC,NU ¦ 1 και πατριας אC [12%]
[i] ο αγγελος προς αυτην **f**[35] A,C,D [97.8%] CP,HF,RP,TR,OC ¦ 34 B,W [1.2%] NU ¦ ~ 3412 א [1%]
[j] ευλογημενη συ εν γυναιξιν **f**[35] A,C,D [98.6%] CP,HF,RP,TR,OC ¦ --- אB,W [1.4%] NU
[k] ιδουσα **f**[35] A,C [97.6%] CP,HF,RP,TR,OC ¦ --- אB,D,W [2.4%] NU
[l] διεταραχθη επι τω λογω **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ ~ 2341 אB(D)W [3%] NU ¦ 1 C [alone]
[m] αυτου **f**[35] A [96.3%] CP,HF,RP,TR,OC ¦ --- אB,C,D,W [3.7%] NU
[n] συλληψη **f**[35] [99.4%] CP,HF,RP,TR,OC ¦ συλλημψη אA,B,C(D,W) [0.6%] NU
[o] εσται **f**[35] אA,B,C,D,W [78%] CP,HF,RP,TR,NU ¦ 1 μοι [22%] OC

σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον Ἅγιον κληθήσεται
Υἱὸς Θεοῦ. **36** Καὶ ἰδού, Ἐλισάβετ ἡ συγγενής[p] σου, καὶ αὕτη[q] συνειληφυῖα[r] υἱὸν ἐν
γήρει[s] αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· **37** ὅτι οὐκ
ἀδυνατήσει παρὰ τῷ Θεῷ[t] πᾶν ῥῆμα.» **38** Εἶπεν δὲ Μαριάμ· «Ἰδοὺ ἡ δούλη Κυρίου·
γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.» Καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος.

### *Mary visits Elizabeth*

**39** Ἀναστᾶσα δὲ[u] Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν ὀρεινήν, μετὰ
σπουδῆς, εἰς πόλιν Ἰούδα, **40** καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν
Ἐλισάβετ. **41** Καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας[v]
ἐσκίρτησεν τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ.

### *Elizabeth prophesies*

**42** Καὶ ἀνεφώνησεν[w] φωνῇ[x] μεγάλῃ καὶ εἶπεν· «Εὐλογημένη σὺ ἐν γυναιξίν, καὶ
εὐλογημένος ὁ Καρπὸς τῆς κοιλίας σου. **43** Καὶ πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ
τοῦ Κυρίου μου πρός με;[y] **44** Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ
ὦτά μου ἐσκίρτησεν τὸ βρέφος ἐν ἀγαλλιάσει[z] ἐν τῇ κοιλίᾳ μου. **45** Καὶ μακαρία ἡ
πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.»

### *Mary worships*

**46** Καὶ εἶπεν Μαριάμ· «Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, **47** καὶ ἠγαλλίασεν τὸ
πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· **48** ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς
δούλης αὐτοῦ. Ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαί, **49** ὅτι
ἐποίησέν μοι μεγαλεῖα[a] ὁ Δυνατός, καὶ Ἅγιον τὸ ὄνομα αὐτοῦ. **50** Καὶ τὸ ἔλεος αὐτοῦ
εἰς γενεὰς γενεῶν[b] τοῖς φοβουμένοις αὐτόν. **51** Ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ·
διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν· **52** καθεῖλεν δυνάστας ἀπὸ
θρόνων καὶ ὕψωσεν ταπεινούς· **53** πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας
ἐξαπέστειλεν κενούς. **54** Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους,
**55** καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως
αἰῶνος.»[c]

---

[p] συγγενης **f**[35] C [90%] CP,HF,RP,TR,OC ¦ συγγενις ℵA,B(D) [10%] NU ¦ συνγενεις W [alone]
[q] αὐτη **f**[35] ¦ αὑτη CP,HF,RP,TR,OC,NU
[r] συνειληφυια **f**[35] A,C,D [98.8%] CP,HF,RP,TR,OC ¦ συνειληφεν ℵB,W [1.2%] NU
[s] γηρει **f**[35] ℵA,B,C,D,W [90%] CP,HF,RP,OC,NU ¦ γηρα [10%] TR
[t] τω θεω **f**[35] A,C [99%] CP,HF,RP,TR,OC ¦ του θεου ℵB,D,W [1%] NU
[u] αναστασα δε **f**[35] ℵB,C,D,W [90.6%] CP,HF,RP,TR,OC,NU ¦ ~ και 1 A [9.4%]
[v] η ελισαβετ τον ασπασμον της μαριας **f**[35] A,W [98.3%] CP,HF,RP,TR,OC ¦ ~ 345612 ℵB,C,D [1.7%] NU
[w] ανεφωνησεν **f**[35] A,B,D,W [89%] CP,HF,RP,TR,OC,NU ¦ ανεβοησεν ℵC [11%]
[x] φωνη **f**[35] ℵA,C,D [99.2%] CP,HF,RP,TR,OC ¦ κραυγη B,W [0.8%] NU
[y] με **f**[35] A,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ εμε ℵB [0.3%] NU
[z] το βρεφος εν αγαλλιασει **f**[35] A [97.5%] CP,HF,RP,OC ¦ ~ 3412 ℵB,C,D,W [2.5%] TR,NU
[a] μεγαλεια **f**[35] A,C [99.7%] CP,HF,RP,TR,OC ¦ μεγαλα ℵB,D,W [0.3%] NU
[b] γενεας γενεων **f**[35] A [69%] CP,HF,RP,TR,OC ¦ 1 και 2 [2.8%] ¦ γενεαν 2 D [0.6%] ¦ γενεαν και γενεαν ℵ [25.3%] ¦ 1 και 1 B,C,W [0.8%] NU ¦ three other variants [1.5%]
[c] εως αιωνος **f**[35] C [35%] CP ¦ 1 αιωνας [1%] ¦ εις τον αιωνα ℵA,B,D,W [64%] HF,RP,TR,OC,NU [Render “while there is an age”—I take the point to be that the things mentioned are pertinent to this world, not the next.]

**56** Ἔμεινεν δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ[d] μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον
αὐτῆς.

## The birth of John

**1:57** Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν υἱόν. **58** Καὶ
ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγάλυνεν Κύριος τὸ ἔλεος αὐτοῦ
μετ᾽ αὐτῆς, καὶ συνέχαιρον αὐτῇ.

### *John is named*

**59** Καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ[e] ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ
ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐτοῦ, Ζαχαρίαν. **60** Καὶ ἀποκριθεῖσα ἡ μήτηρ αὐτοῦ
εἶπεν, «Οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης.» **61** Καὶ εἶπον[f] πρὸς αὐτὴν ὅτι «Οὐδείς ἐστιν
ἐν τῇ συγγενείᾳ[g] σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ.» **62** Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ
τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν.[h] **63** Καὶ αἰτήσας πινακίδιον ἔγραψεν λέγων,
«Ἰωάννης ἔσται[i] τὸ[j] ὄνομα αὐτοῦ.» Καὶ ἐθαύμασαν πάντες. **64** Ἀνεῴχθη δὲ τὸ στόμα
αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. **65** (Καὶ
ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς
Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. **66** Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν
τῇ καρδίᾳ αὐτῶν λέγοντες, «Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;» Καὶ[k] χεὶρ Κυρίου ἦν
μετ᾽ αὐτοῦ.)

### *Zacharias prophesies*

**67** Καὶ Ζαχαρίας, ὁ πατὴρ αὐτοῦ, ἐπλήσθη Πνεύματος Ἁγίου καὶ προεφήτευσεν[l]
λέγων· **68** «Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησεν
λύτρωσιν τῷ λαῷ αὐτοῦ, **69** καὶ ἤγειρεν κέρας σωτηρίας ἡμῖν ἐν τῷ[m] οἴκῳ Δαυὶδ τοῦ[n]
παιδὸς αὐτοῦ—**70** καθὼς ἐλάλησεν διὰ στόματος τῶν ἁγίων τῶν[o] ἀπ᾽ αἰῶνος
προφητῶν αὐτοῦ—**71** σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν
μισούντων ἡμᾶς· **72** ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης
ἁγίας αὐτοῦ, **73** ὅρκον ὃν ὤμοσεν πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν· **74** τοῦ δοῦναι
ἡμῖν ἀφόβως (ἐκ χειρὸς τῶν[p] ἐχθρῶν ἡμῶν[q] ῥυσθέντας) λατρεύειν αὐτῷ, **75** ἐν
ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας[r] τῆς ζωῆς[s] ἡμῶν.

---

[d] ωσει **f**[35] A,C [97.8%] CP,HF,RP,TR,OC ¦ ως ℵB,W [2%] NU ¦ --- D [0.2%]
[e] ογδοη ημερα **f**[35] A [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 τη 1 ℵB,C,D,W [2.5%] NU
[f] ειπον **f**[35] A,B,C [99%] CP,HF,RP,TR,OC ¦ ειπαν ℵD,W [1%] NU
[g] εν τη συγγενεια **f**[35] D [88%] CP,HF,RP,TR,OC ¦ εκ της συγγενειας ℵA,B,C,W [12%] NU
[h] αυτον **f**[35] A,C,W [92%] CP,HF,RP,TR,OC ¦ αυτο 𝔓[4]ℵB,D [8%] NU
[i] εσται **f**[35] C [26%] CP ¦ εστιν ℵA,B,D,W [74%] HF,RP,TR,OC,NU
[j] το **f**[35] ℵA,C,D,W [99.4%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[4]B [0.6%] NU
[k] και **f**[35] A [98.6%] CP,HF,RP,TR,OC ¦ 1 γαρ 𝔓[4]ℵB,C,D,W [1.4%] NU
[l] προεφητευσεν **f**[35] (D) [94%] CP,HF,RP,TR,OC ¦ επροφητευσεν 𝔓[4]ℵA,B,C,W [3.8%] NU ¦ επροεφητευσεν [2.2%]
[m] τω **f**[35] A [93%] CP,HF,RP,TR,OC ¦ --- ℵB,C,D,W [7%] NU
[n] του **f**[35] A,C [99.3%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[4]ℵB,D,W [0.7%] NU
[o] των **f**[35] A,C,D [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[4]ℵB,W [2%] NU
[p] των **f**[35] A,C [98.4%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.6%] NU
[q] ημων **f**[35] A,C,D [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [1.5%] NU
[r] πασας τας ημερας **f**[35] ℵA,C,D [99.5%] CP,HF,RP,TR,OC ¦ πασαις ταις ημεραις 𝔓[4]B,W [0.5%] NU
[s] της ζωης **f**[35] [77%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[4]ℵA,B,C,D,W [23%] NU

**76** »Καὶ σύ,[t] παιδίον, προφήτης Ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ
προσώπου[u] Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, **77** τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ
αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν,[v] **78** διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς
ἐπεσκέψατο[w] ἡμᾶς ἀνατολὴ ἐξ ὕψους· **79** ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου
καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.»

**80** Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν ταῖς ἐρήμοις ἕως
ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

## The birth of Jesus—4 BC

**2:1** Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα παρὰ Καίσαρος Αὐγούστου
ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. **2** Αὕτη ἡ[x] ἀπογραφὴ πρώτη ἐγένετο
ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. **3** Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι,
ἕκαστος εἰς τὴν ἰδίαν[y] πόλιν.

### *At night, in Bethlehem, the Savior is born*

**4** Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρέτ,[z] εἰς τὴν Ἰουδαίαν,
εἰς πόλιν Δαυὶδ ἥτις καλεῖται Βηθλέεμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς
Δαυίδ, **5** ἀπογράψασθαι σὺν Μαριάμ, τῇ μεμνηστευμένῃ[a] αὐτῷ γυναικί,[b] οὔσῃ ἐγκύῳ.
**6** Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· **7** καὶ
ἔτεκεν τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν
αὐτὸν ἐν τῇ[c] φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

### *Angels and shepherds*

**8** Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ, ἀγραυλοῦντες καὶ φυλάσσοντες
φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. **9** Καὶ ἰδού,[d] ἄγγελος Κυρίου ἐπέστη
αὐτοῖς καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν. **10** Καὶ
εἶπεν αὐτοῖς ὁ ἄγγελος· «Μὴ φοβεῖσθε, ἰδοὺ γάρ, εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην,
ἥτις ἔσται παντὶ τῷ λαῷ· **11** ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτήρ, ὅς ἐστιν Χριστὸς
Κύριος, ἐν πόλει Δαυίδ. **12** Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε[e] Βρέφος
ἐσπαργανωμένον, κείμενον[f] ἐν[g] φάτνῃ.» **13** Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ

---

[t] συ **f**$^{35}$ A [99.3%] CP,HF,RP,TR,OC ¦ 1 δε 𝔓$^{4}$אB,C,D,W [0.7%] NU
[u] προ προσωπου **f**$^{35}$ A,C,D [99.7%] CP,HF,RP,TR,OC ¦ ενωπιον (𝔓$^{4}$)אB,W [0.3%] NU
[v] αυτων **f**$^{35}$ 𝔓$^{4}$אB,D [85%] CP,HF,RP,TR,OC,NU ¦ ημων A,C [13%] ¦ αυτου W [1%] ¦ --- [1%]
[w] επεσκεψατο **f**$^{35}$ A,C,D [99.6%] CP,HF,RP,TR,OC ¦ επισκεψεται 𝔓$^{4}$אB,W [0.4%] NU
[x] η **f**$^{35}$ אA,C,W [99.4%] CP,HF,RP,TR,OC ¦ --- B,D [0.6%] NU
[y] ιδιαν **f**$^{35}$ A,C [99.3%] CP,HF,RP,TR,OC ¦ εαυτου B,D,W [0.7%] NU ¦ εαυτων א
[z] ναζαρετ **f**$^{35}$ B,W [73%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ אD [26.5%] NU ¦ ναζαραθ A,C [0.5%]
[a] μεμνηστευμενη **f**$^{35}$ [99%] CP,HF,RP,TR,OC ¦ εμνηστευμενη אA,B,C,D [0.6%] NU ¦ εμεμνηστευμενη C ¦ two other variants [0.4%]
[b] γυναικι **f**$^{35}$ A [98.4%] CP,HF,RP,TR,OC ¦ --- אB,C$^{v}$D,W [1.6%] NU
[c] τη **f**$^{35}$ [95.3%] CP,HF,RP,TR,OC ¦ --- אA,B,D,W [4.7%] NU
[d] ιδου **f**$^{35}$ A,D [99.2%] CP,HF,RP,TR,OC ¦ --- אB,W [0.8%] NU
[e] ευρησετε **f**$^{35}$ B,D [87%] CP,HF,RP,TR,OC,NU ¦ ευρησεται אA,W [13%]
[f] κειμενον **f**$^{35}$ A [94%] CP,HF,RP,TR,OC ¦ και 1 B,W [3.5%] NU ¦ --- אD [2.5%]
[g] εν **f**$^{35}$ אA,B,D,W [90%] CP,HF,RP,OC,NU ¦ 1 τη [10%] TR

πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν καὶ λεγόντων, **14** «Δόξα ἐν ὑψίστοις
Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.»[h]

### *Shepherds go and report*

**15** Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ
ἄνθρωποι,[i] οἱ ποιμένες, εἶπον[j] πρὸς ἀλλήλους, «Διέλθωμεν δὴ ἕως Βηθλέεμ καὶ
ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονός, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν.» **16** Καὶ ἦλθον[k]
σπεύσαντες καὶ ἀνεῦρον[l] τήν τε Μαριὰμ καὶ τὸν Ἰωσήφ, καὶ τὸ Βρέφος κείμενον ἐν
τῇ φάτνῃ. **17** Ἰδόντες δὲ διεγνώρισαν[m] περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ
τοῦ παιδίου τούτου. **18** Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων
ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς. **19** Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα,
συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. **20** Καὶ ὑπέστρεψαν[n] οἱ ποιμένες δοξάζοντες καὶ
αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

### *Jesus is named*

**21** Καὶ ὅτε ἐπλήσθησαν[o] ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτόν,[p] καὶ ἐκλήθη τὸ ὄνομα
αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι[q] αὐτὸν ἐν τῇ κοιλίᾳ.

### *Jesus is presented to God*

**22** Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν[r] κατὰ τὸν νόμον
Μωσέως,[s] ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ **23** (καθὼς
γέγραπται ἐν νόμῳ Κυρίου ὅτι «Πᾶν ἄρσεν διανοῖγον[t] μήτραν ἅγιον τῷ Κυρίῳ
κληθήσεται»), **24** καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν[u] νόμῳ Κυρίου, «ζεῦγος
τρυγόνων ἢ δύο νεοσσοὺς[v] περιστερῶν.»

### Simeon

**25** Καὶ ἰδού, ἦν ἄνθρωπος[w] ἐν Ἱερουσαλὴμ[x] ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος
οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα ἦν
Ἅγιον[y] ἐπ᾽ αὐτόν. **26** (Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου

---

[h] ευδοκια $\mathbf{f}^{35}$ (99.4%) CP,HF,RP,TR,OC ¦ ευδοκιας ℵA,B,D,W (0.4%) NU ¦ two other readings (0.2%) [1627 MSS x 6 MSS, according to *Text und Textwert*]

[i] και οι ανθρωποι $\mathbf{f}^{35}$ A,D (97.7%) CP,HF,RP,TR,OC ¦ και (1.1%) ¦ --- (ℵ)B,W (1.1%) NU ¦ one other variant (1%)

[j] ειπον $\mathbf{f}^{35}$ A,D [99%] CP,HF,RP,TR,OC ¦ ελαλουν ℵB,W [0.5%] NU ¦ ειπαν [0.5%]

[k] ηλθον $\mathbf{f}^{35}$ ℵD,W [98.2%] CP,HF,RP,TR,OC ¦ ηλθαν B [0.2%] NU ¦ απηλθον [1.6%]

[l] ανευρον $\mathbf{f}^{35}$ ℵA [92.2%] CP,HF,RP,TR,OC ¦ ανευραν B,NU ¦ ευρον D,W [6%] ¦ ηυραν [0.7%] ¦ ευραν [0.1%]

[m] διεγνωρισαν $\mathbf{f}^{35}$ A [97.8%] CP,HF,RP,TR,OC ¦ εγνωρισαν ℵB,D,W [2.2%] NU

[n] υπεστρεψαν $\mathbf{f}^{35}$ ℵA,B,D,W [97.4%] CP,HF,RP,OC,NU ¦ επεστρεψαν [2.6%] TR

[o] επλησθησαν $\mathbf{f}^{35}$ ℵA,B,W [82%] CP,HF,RP,TR,NU ¦ 1 αι D [18%] OC

[p] αυτον $\mathbf{f}^{35}$ ℵA,B,W [65%] CP,HF,RP,NU ¦ το παιδον D [32%] TR,OC ¦ αυτο [3%]

[q] συλληφθηναι $\mathbf{f}^{35}$ [99.1%] CP,HF,RP,TR,OC ¦ συλλημφθηναι ℵA,B [0.8%] NU ¦ συνλημφθηναι D,W

[r] αυτων $\mathbf{f}^{35}$ ℵA,B,W [90%] CP,HF,RP,TR,OC,NU ¦ αυτου D [10%]

[s] μωσεως $\mathbf{f}^{35}$ A [62%] CP,HF,RP,TR ¦ μωυσεως ℵB,D,W [35%] OC,NU ¦ μωυσεος [3%]

[t] διανοιγον $\mathbf{f}^{35}$ A,B,D,W [88%] CP,HF,RP,TR,OC,NU ¦ διανοιγων ℵN [12%]

[u] εν $\mathbf{f}^{35}$ A,N [99%] CP,HF,RP,TR,OC ¦ 1 τω ℵB,D,W [1%] NU

[v] νεοσσους $\mathbf{f}^{35}$ A,D,N [85%] CP,HF,RP,TR,OC ¦ νοσσους ℵB,W [15%] NU

[w] ην ανθρωπος $\mathbf{f}^{35}$ A,D,N [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB,W [1%] NU

[x] ιερουσαλημ *rell* ¦ ιεροσολυμοις OC

[y] ην αγιον $\mathbf{f}^{35}$ ℵA,B,W [83%] CP,HF,RP,OC,NU ¦ ~ 21 D,N [17%] TR

μὴ ἰδεῖν θάνατον πρὶν ἢ[z] ἴδῃ τὸν Χριστὸν Κυρίου.) **27** Καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, **28** καὶ αὐτὸς ἐδέξατο αὐτὸ[a] εἰς τὰς ἀγκάλας αὐτοῦ[b] καὶ εὐλόγησεν τὸν Θεὸν καὶ εἶπεν· **29** «Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, **30** ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, **31** ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· **32** φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.» **33** Καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ[c] θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ.

**34** Καὶ εὐλόγησεν αὐτοὺς Συμεών, καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· «Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον **35** (καὶ σοῦ δὲ[d] αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία), ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.»

### Anna

**36** Καὶ ἦν Ἅννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ—αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ[e] ἀπὸ τῆς παρθενίας αὐτῆς **37** καὶ αὐτὴ χήρα ὡς[f] ἐτῶν ὀγδοήκοντα τεσσάρων—ἣ οὐκ ἀφίστατο ἀπὸ[g] τοῦ ἱεροῦ, νηστείαις καὶ δεήσεσιν λατρεύουσα νύκτα καὶ ἡμέραν. **38** Καὶ αὕτη, αὐτῇ[h] τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ Κυρίῳ,[i] καὶ ἐλάλει περὶ Αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν ἐν[j] Ἱερουσαλήμ.

### *Back to Natsareth*

**39** Καὶ ὡς ἐτέλεσαν ἅπαντα[k] τὰ[l] κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν[m] εἰς τὴν Γαλιλαίαν, εἰς τὴν[n] πόλιν ἑαυτῶν,[o] Ναζαρέτ.[p] **40** Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πνεύματι,[q] πληρούμενον σοφίας·[r] καί, χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτῷ.[s]

---

[z] πριν η **f**$^{35}$ A,D,N [91%] CP,HF,RP,TR,OC ¦ 12 αν [0.5%] [NU] ¦ 1 αν B [0.5%] ¦ 1 W [8%] ¦ εως αν א

[a] αυτο **f**$^{35}$ אA,B,D,N,W [70%] CP,HF,RP,TR,NU ¦ αυτον [30%] OC

[b] αυτου **f**$^{35}$ A,D,N [96%] CP,HF,RP,TR,OC ¦ --- אB,W [4%] NU

[c] (ο A,N 2.2%) ιωσηφ και η μητηρ αυτου (−α. N 0.5%) **f**$^{35}$ (A)(N) (98.8%) CP,HF,RP,TR,OC ¦ ο πατηρ 5 (−α. 0.3%) 234 (+αυτου א 0.4%) (א)B,D,W (0.9%) NU ¦ three other variants (0.3%)

[d] δε **f**$^{35}$ אA,D,N [99.6%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,W [0.4%]

[e] ετη μετα ανδρος επτα **f**$^{35}$ [88%] CP,HF,RP,TR,OC ¦ ~ 2314 אB,N,W [5.2%] NU ¦ ~ 1423 A,D [6.8%]

[f] ως **f**$^{35}$ W [98.5%] CP,HF,RP,TR,OC ¦ εως אA,B,N [1.1%] NU ¦ --- D [0.4%]

[g] απο **f**$^{35}$ A,N [98.7%] CP,HF,RP,TR,OC ¦ --- B,D,W [1.3%] NU ¦ εκ א

[h] αύτη αὐτῃ **f**$^{35}$ [93%] CP,HF,RP,TR,OC ¦ 1 A,B,W [4.5%] ¦ 2 אD,N [2.5%] NU

[i] κυριω **f**$^{35}$ A [99.3%] CP,HF,RP,TR,OC ¦ θεω אB,D,N,W [0.7%] NU

[j] εν **f**$^{35}$ A,D,N [94.5%] CP,HF,RP,TR,OC ¦ --- אB,W [5.5%] NU

[k] απαντα **f**$^{35}$ A,D [95.8%] CP,HF,RP,TR,OC ¦ παντα אB,N,W [4.2%] NU

[l] τα **f**$^{35}$ A,B,W [87%] CP,HF,RP,TR,OC,NU ¦ --- אD,N [13%]

[m] υπεστρεψαν **f**$^{35}$ A,D,N [99.6%] CP,HF,RP,TR,OC ¦ επεστρεψαν (א)B,W [0.4%] NU

[n] την **f**$^{35}$ A,N [98%] CP,HF,RP,TR,OC ¦ --- אB,D,W [2%] NU

[o] εαυτων **f**$^{35}$ אA,B,D,N,W [65%] CP,HF,RP,OC,NU ¦ αυτων [35%] TR

[p] ναζαρετ **f**$^{35}$ אN,W [63%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ B$^{v}$(D) [35.3%] NU ¦ ναζαρατ A [0.3%] ¦ ναζαραθ [1.4%]

[q] πνευματι **f**$^{35}$ A,N [99.6%] CP,HF,RP,TR,OC ¦ --- אB,D,W [0.4%] NU

[r] σοφιας **f**$^{35}$ אA,D,N [99.5%] CP,HF,RP,TR,OC ¦ σοφια B,W [0.5%] NU

[s] αυτω **f**$^{35}$ (D) [41%] ¦ αυτο אA,B,N,W [58%] CP,HF,RP,TR,OC,NU ¦ αυτον [1%] [The dative is better—the grace was resting on Him all the time.]

## A twelve-year-old Boy

**2:41** Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽ ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα·
**42** καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν[t] εἰς Ἱεροσόλυμα[u] κατὰ τὸ ἔθος
τῆς ἑορτῆς. **43** Καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν
Ἰησοῦς ὁ Παῖς ἐν Ἱερουσαλήμ· καὶ οὐκ ἔγνω[v] Ἰωσὴφ καὶ ἡ μήτηρ[w] αὐτοῦ.
**44** Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι,[x] ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν
αὐτὸν ἐν τοῖς συγγενέσιν[y] καὶ ἐν τοῖς γνωστοῖς.[z] **45** Καὶ μὴ εὑρόντες αὐτόν,[a]
ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ζητοῦντες[b] αὐτόν. **46** Καὶ ἐγένετο μεθ᾽[c] ἡμέρας τρεῖς
εὗρον αὐτὸν ἐν τῷ ἱερῷ, καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων, καὶ ἀκούοντα αὐτῶν
καὶ ἐπερωτῶντα αὐτούς. **47** (Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει
καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ.)

**48** Καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπεν·[d]
«Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; Ἰδού, ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν
σε.» **49** Καὶ εἶπεν πρὸς αὐτούς· «Τί ὅτι ἐζητεῖτέ με; Οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ
Πατρός μου δεῖ εἶναί με;» **50** Καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς.

**51** Καὶ κατέβη μετ᾽ αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ,[e] καὶ ἦν ὑποτασσόμενος αὐτοῖς.
Καὶ ἡ[f] μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα[g] ἐν τῇ καρδίᾳ αὐτῆς. **52** Καὶ
Ἰησοῦς προέκοπτεν[h] σοφίᾳ καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

## Enter John the baptizer—26 AD

**3:1** Ἐν ἔτει δὲ[i] πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος
Ποντίου Πιλάτου τῆς Ἰουδαίας καὶ τετραρχοῦντος[j] τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου
δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος[k] τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ
Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος,[l] **2** ἐπὶ ἀρχιερέως[m] Ἄννα (καὶ Καϊάφα),

---

[t] αναβαντων αυτων **f**$^{35}$ N [90%] CP,HF,RP,TR,OC ¦ αναβαινοντων 2 (א)A,B,W [9.6%] NU ¦ ανεβησαν (D) [0.4%]

[u] εις ιεροσολυμα **f**$^{35}$ A,C$^{v}$D(N) [99.5%] CP,HF,RP,TR,OC ¦ --- אB,W [0.5%] NU

[v] εγνω **f**$^{35}$ A,C,N [96.4%] CP,HF,RP,TR,OC ¦ εγνωσαν אB,D,W [3.6%] NU

[w] ιωσηφ και η μητηρ **f**$^{35}$ A,C,N [97.1%] CP,HF,RP,TR,OC ¦ οι γονεις אB,D,W [2.9%] NU

[x] εν τη συνοδια ειναι **f**$^{35}$ A,C(N) [99%] CP,HF,RP,TR,OC ¦ ~ 4123 אB,D,W [1%] NU

[y] συγγενεσιν **f**$^{35}$ אA,C(D) [86%] CP,HF,RP,TR,OC ¦ συγγενευσιν B,N,W [14%] NU

[z] και εν τοις γνωστοις **f**$^{35}$ D [85%] CP,HF,RP,TR,OC ¦ 134 A,B,C,N,W [14.9%] NU ¦ --- א [0.1%]

[a] αυτον **f**$^{35}$ A,N [98.5%] CP,HF,RP,TR,OC ¦ --- אB,C(D)W [1.5%] NU

[b] ζητουντες **f**$^{35}$ אA,N [95%] CP,HF,RP,TR,OC ¦ αναζητουντες B,C,D,W [4.3%] NU ¦ επιζητουντες [0.7%]

[c] μεθ **f**$^{35}$ A,C,D,N [95.8%] CP,HF,RP,TR,OC ¦ μετα אB,W [4.2%] NU

[d] προς αυτον η μητηρ αυτου ειπεν **f**$^{35}$ A,N [98.6%] CP,HF,RP,TR,OC ¦ ~ 612345 אB,C,D,W [1.4%] NU

[e] ναζαρετ **f**$^{35}$ אC,W [60%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ B,D [38.5%] NU ¦ ναζαρατ A,N [0.3%] ¦ ναζαραθ [1.2%]

[f] και η **f**$^{35}$ אA,B,C,N,W [83.5%] CP,HF,RP,TR,OC,NU ¦ ~ 2 δε D [16.5%]

[g] ταυτα **f**$^{35}$ A,C,N [98.4%] CP,HF,RP,TR,OC ¦ --- אB,D,W [1.6%] NU

[h] προεκοπτεν **f**$^{35}$ A,C,D,N [99.7%] CP,HF,RP,TR,OC ¦ 1 εν τη א [0.1%] [NU] ¦ 1 τη B,W [0.2%]

[i] δε *rell* ¦ --- [12%]

[j] τετραρχουντος **f**$^{35}$ B,D,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ τετρααρχουντος אA,C,NU

[k] τετραρχουντος **f**$^{35}$ A,B,D,N,W [99.9%] CP,HF,RP,TR,OC ¦ τετρααρχουντος אC,NU

[l] τετραρχουντος **f**$^{35}$ A,B,D,N,W [99.9%] CP,HF,RP,TR,OC ¦ τετρααρχουντος אC,NU

[m] επι αρχιερεως **f**$^{35}$ אA,B,C,D,N,W [96.5%] CP,HF,RP,NU ¦ επ 2 [0.4%] OC ¦ 1 αρχιερεων [2.8%] ¦ επ αρχιερεων [0.3%] TR

ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν[n] Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ. **3** Καὶ ἦλθεν εἰς πᾶσαν τὴν[o] περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· **4** ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου, λέγοντος·[p] «Φωνὴ βοῶντος· ‹Ἐν τῇ ἐρήμῳ ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. **5** Πᾶσα φάραγξ[q] πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας· **6** καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.› »

### *"Brood of vipers!"*

**7** Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ᾽ αὐτοῦ· «Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; **8** Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, ‹Πατέρα ἔχομεν τὸν Ἀβραάμ›· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. **9** Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.»

### *"What shall we do?"*

**10** Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες, «Τί οὖν ποιήσομεν;»[r] **11** Ἀποκριθεὶς δὲ λέγει[s] αὐτοῖς, «Ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω.» **12** Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι ὑπ᾽ αὐτοῦ[t] καὶ εἶπον πρὸς αὐτόν, «Διδάσκαλε, τί ποιήσομεν;»[u] **13** Ὁ δὲ εἶπεν πρὸς αὐτούς, «Μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε.» **14** Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες, «Καὶ ἡμεῖς, τί ποιήσομεν;»[v] Καὶ εἶπεν πρὸς αὐτούς,[w] «Μηδένα διασείσητε μηδὲ συκοφαντήσητε,[x] καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν.»

### *"A greater One is coming"*

**15** Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός, **16** ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασιν[y] λέγων·[z] «Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι

---

[n] τον **f**$^{35}$ ℵA,B,C,D,N,W [82%] CP,HF,RP,OC,NU ¦ 1 του [18%] TR

[o] την **f**$^{35}$ ℵC,D [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- A,B,N,W [0.5%]

[p] λεγοντος **f**$^{35}$ A,C,N [98.2%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.8%] NU

[q] φαραγξ **f**$^{35}$ ℵB,C,D,N,W [75%] CP,HF,RP,TR,OC,NU ¦ φαραξ A [25%]

[r] ποιησομεν **f**$^{35}$ [45%] CP,RP,TR,OC ¦ ποιησωμεν ℵA,B,C(D)N,W [55%] HF,NU (The indicative is correct; they are committing themselves to do what he says.)

[s] λεγει **f**$^{35}$ A,D [97.8%] CP,HF,RP,TR,OC ¦ ελεγεν $\mathfrak{P}^{4}$ℵB,C,N [2.2%] NU ¦ ειπεν W

[t] ὑπ αυτου **f**$^{35}$ C [40%] CP ¦ --- $\mathfrak{P}^{4}$ℵA,B,D,N,W [60%] HF,RP,TR,OC,NU

[u] ποιησομεν **f**$^{35}$ [43%] CP,RP,TR,OC ¦ ποιησωμεν $\mathfrak{P}^{4}$ℵA,B,C(D)N,W [57%] HF,NU (The indicative continues to be correct.)

[v] και ημεις τι ποιησομεν **f**$^{35}$ A [45%] CP,RP,TR,OC ¦ 123 ποιησωμεν N [53.4%] HF ¦ ~ 3 ποιησωμεν 12 $\mathfrak{P}^{4v}$ℵB,C,W [1.6%] NU ¦ ~ 3 ποιησωμεν D (Still indicative.)

[w] προς αυτους **f**$^{35}$ ℵA,N,W [99.1%] CP,HF,RP,TR,OC ¦ αυτοις $\mathfrak{P}^{4}$B,C,D [0.9%] NU

[x] διασεισητε μηδε συκοφαντησητε *rell* ¦ ~ 321 OC

[y] απασιν **f**$^{35}$ A,C [98.2%] CP,HF,RP,TR,OC ¦ πασιν $\mathfrak{P}^{4}$ℵB,N,W [1.8%] NU ¦ --- D

[z] ο ιωαννης απασιν λεγων **f**$^{35}$ A,C,N [91.3%] CP,HF,RP,TR,OC ¦ 234 [5.7%] ¦ 34 [0.4%] ¦ ~ 1243 [1.6%] ¦ ~ 4312 $\mathfrak{P}^{4}$ℵB,W [0.3%] NU ¦ ~ 3124 [0.6%] ¦ ~ 3412 [0.1%] ¦ --- D

Ἁγίῳ καὶ πυρί· **17** οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ[a] τὴν ἅλωνα αὐτοῦ
καὶ συνάξει[b] τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ
ἀσβέστῳ.»

### *John is imprisoned—historical aside*

**18** (Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο τῷ λαῷ.[c] **19** Ὁ δὲ Ἡρῴδης
ὁ τετράρχης[d]—ἐλεγχόμενος ὑπ᾽ αὐτοῦ περὶ Ἡρῳδιάδος, τῆς γυναικὸς[e] τοῦ ἀδελφοῦ
αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησεν πονηρῶν ὁ Ἡρῴδης— **20** προσέθηκεν καὶ τοῦτο
ἐπὶ πᾶσιν· καὶ[f] κατέκλεισεν τὸν Ἰωάννην ἐν τῇ[g] φυλακῇ.)

### *Jesus is baptized*

**21** Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν, καὶ Ἰησοῦ, βαπτισθέντος καὶ
προσευχομένου, ἀνεῳχθῆναι τὸν οὐρανὸν **22** καὶ καταβῆναι τὸ Πνεῦμα τὸ Ἅγιον
σωματικῷ εἴδει ὡσεὶ[h] περιστερὰν ἐπ᾽ αὐτόν, καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι
λέγουσαν,[i] «Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητός· ἐν σοὶ εὐδόκησα.»[j]

## Mary's genealogy

**3:23** (Καὶ αὐτὸς ἦν ὁ[k] Ἰησοῦς, ὡσεὶ ἐτῶν τριάκοντα ἀρχόμενος,[l] ὢν (ὡς ἐνομίζετο)
υἱὸς[m] Ἰωσήφ, τοῦ Ἡλεί,[n] **24** τοῦ Ματθάν,[o] τοῦ Λευΐ, τοῦ Μελχί,[p] τοῦ Ἰαννᾶ,[q] τοῦ
Ἰωσήφ, **25** τοῦ Ματταθίου, τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἐσλί,[r] τοῦ Ναγγαί, **26** τοῦ
Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ,[s] τοῦ Ἰωσήφ,[t] τοῦ Ἰούδα,[u] **27** τοῦ Ἰωαννάν,[v] τοῦ

---

[a] και διακαθαριει **f**$^{35}$ A,C,D,N,W [97.9%] CP,HF,RP,TR,OC ¦ διακαθαραι **𝔓**$^{4}$אB,NU ¦ 1 καθαριει [1.8%] ¦ one other reading

[b] συναξει **f**$^{35}$ A,C(D)N,W [99.8%] CP,HF,RP,TR,OC ¦ συναγαγειν **𝔓**$^{4}$אB,NU

[c] τω λαω **f**$^{35}$ [15%] ¦ τον λαον *rell* [The verb ευαγγελιζω normally takes the dative, although the accusative does occur; evidently there is no difference in meaning.]

[d] τετραρχης **f**$^{35}$ A,B,D,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ τετρααρχης אC,NU

[e] γυναικος **f**$^{35}$ **𝔓**$^{4,75v}$אB,D,N [75%] CP,HF,RP,OC,NU ¦ 1 φιλιππου A,C,W [25%] TR

[f] και **f**$^{35}$ **𝔓**$^{75v}$A,C,N,W [98.2%] CP,HF,RP,TR,OC[NU] ¦ --- אB,D [1.8%]

[g] τη **f**$^{35}$ A,C,N,W [86%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{4}$אB,D [14%] NU

[h] ωσει **f**$^{35}$ A,N [96.4%] CP,HF,RP,TR,OC ¦ ως **𝔓**$^{4}$אB,D,W [3.6%] NU

[i] λεγουσαν **f**$^{35}$ A,N [99.2%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{4}$אB,D,W [0.8%] NU

[j] ευδοκησα **f**$^{35}$ **𝔓**$^{4}$אB,N [72%] CP,HF,RP,OC,NU ¦ ηυδοκησα A,W [28%] TR ¦ --- D

[k] ο **f**$^{35}$ A,N [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{4}$אB,D,W [3%] NU

[l] ωσει ετων τριακοντα αρχομενος **f**$^{35}$ A(D)N [98.8%] CP,HF,RP,TR,OC ¦ ~ 4123 **𝔓**$^{4}$אB,W [1.2%] NU

[m] ως ενομιζετο υιος **f**$^{35}$ A(D)N [98.7%] CP,HF,RP,TR,OC ¦ ~ 312 **𝔓**$^{4}$אB,W [1.3%] NU

[n] ἠλει **f**$^{35}$ אA,B [60%] ¦ ἠλι **𝔓**$^{4}$N [40%] CP,TR,NU (ἠλι HF,RP,OC) [Codex W omits the whole genealogy, while codex D replaces it with Matthew's.]

[o] ματθαν **f**$^{35}$ N [45%] CP,OC ¦ ματθατ A,B [52%] HF,RP,TR ¦ μαθθαθ **𝔓**$^{4}$(א) [alone] ¦ ματθα [1.9%] ¦ ματταθ [0.9%] ¦ three other spellings [0.2%] ¦ μαθθατ [none!] NU (NU serves up a patchwork quilt.)

[p] μελχι **f**$^{35}$ N [66%] CP,HF,RP,TR,OC,NU ¦ μελχει **𝔓**$^{4}$אA,B [33.4%] ¦ μελχη [0.6%]

[q] ιαννα **f**$^{35}$ A [87.9%] CP,HF,RP,TR ¦ ιανναι **𝔓**$^{4v}$אB [1.2%] NU ¦ ιωαννα N [4.8%] OC ¦ ιανναν [1.4%] ¦ αννα [1.1%] ¦ ιωαννε [0.9%] ¦ nine other spellings [2.7%]

[r] εσλι **f**$^{35}$ [64%] CP,HF,RP,TR,NU ¦ εσλει אA,B [28.1%] ¦ εσλιμ N [3.5%] OC ¦ εσλειμ [2.5%] ¦ four other spellings **𝔓**$^{4v}$ [1.9%]

[s] σεμει **f**$^{35}$ [51%] CP,RP,TR ¦ σεμεει A,N [45.4%] HF ¦ σαιμει [2.2%] ¦ σεμεειν **𝔓**$^{4}$אB [0.5%] ¦ σεμεη [0.7%] ¦ σεμευ OC ¦ two other spellings [0.2%] ¦ σεμειν [none!] NU (NU serves up another patchwork quilt.)

[t] ιωσηφ **f**$^{35}$ A,N [94.2%] CP,HF,RP,TR ¦ ιωσηχ **𝔓**$^{4}$אB [5.7%] OC,NU ¦ two other spellings [0.1%]

[u] ιουδα **f**$^{35}$ A,N [94.7%] CP,HF,RP,TR ¦ ιωδα **𝔓**$^{4}$אB [5%] OC,NU ¦ four other spellings [0.3%]

[v] ιωανναν **f**$^{35}$ [49%] CP,OC ¦ ιωαννα [13%] TR ¦ ιωαναν **𝔓**$^{4}$A,B [18%] HF,RP,NU ¦ ιωναν א [12%] ¦ ιωνναν [2%] ¦ ιαναν [3%] ¦ ιανναν [1.6%] ¦ four other spellings [1.4%] ¦ --- N (If we take the letters one by one, we

Ῥησᾶ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νηρί,[w] **28** τοῦ Μελχί,[x] τοῦ Ἀδδί,[y] τοῦ
Κωσάμ, τοῦ Ἐλμωδάμ,[z] τοῦ Ἤρ, **29** τοῦ Ἰωσῆ,[a] τοῦ Ἐλιέζερ, τοῦ Ἰωρείμ,[b] τοῦ
Ματθάτ,[c] τοῦ Λευΐ,[d] **30** τοῦ Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνάμ,[e] τοῦ
Ἐλιακείμ,[f] **31** τοῦ Μελεᾶ, τοῦ Μαϊνάν,[g] τοῦ Ματταθᾶ, τοῦ Νάθαν,[h] τοῦ Δαυίδ, **32** τοῦ
Ἰεσσαί, τοῦ Ὠβήδ,[i] τοῦ Βοόζ,[j] τοῦ Σαλμών,[k] τοῦ Ναασσών, **33** τοῦ Ἀμιναδάβ,[l] τοῦ
Ἀράμ,[m] τοῦ Ἰωράμ,[n] τοῦ Ἑσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα, **34** τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ,
τοῦ Ἀβραάμ, τοῦ Θάρρα,[o] τοῦ Ναχώρ, **35** τοῦ Σερούχ,[p] τοῦ Ῥαγάβ,[q] τοῦ Φάλεκ,[r] τοῦ
Ἑβέρ,[s] τοῦ Σαλᾶ, **36** τοῦ Καϊνάν,[t] τοῦ Ἀρφαξάδ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ Λάμεχ,
**37** τοῦ Μαθουσάλα, τοῦ Ἐνώχ,[u] τοῦ Ἰάρεδ,[v] τοῦ Μαλελεήλ, τοῦ Καϊνάν,[w] **38** τοῦ
Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.**)**

---

get: ι=100%, ω=a. 94%, α=a. 87%, ν=100%, ν=a. 69%, α=100%, ν=a. 72%; the plurality variant wins all around.)

[w] νηρι **f**$^{35}$ N [65%] CP,HF,RP,TR,OC,NU ¦ νηρει 𝔓$^{4}$אA,B [34%] ¦ six other spellings [1%]

[x] μελχι **f**$^{35}$ N [65%] CP,HF,RP,TR,OC,NU ¦ μελχει 𝔓$^{4}$אA,B [35%]

[y] αδδι **f**$^{35}$ N [67.5%] CP,HF,RP,TR,OC,NU ¦ αδδει 𝔓$^{4}$אA,B [30%] ¦ seven other spellings [2.5%]

[z] ελμωδαμ **f**$^{35}$ A [82%] CP,HF,RP,TR,OC ¦ ελμαδαμ אB,N [1%] NU ¦ ελμωδαν [7%] ¦ ελμωδαδ [5%] ¦ ελμασαμ 𝔓$^{4}$ ¦ twelve other spellings [5%]

[a] ιωση **f**$^{35}$ A,N [95.5%] CP,HF,RP,TR,OC ¦ ιησου 𝔓$^{4}$אB [1.5%] NU ¦ six other spellings [3%]

[b] ιωρειμ A,B [72%] CP,HF,RP,TR,OC ¦ ιωριμ אN [12%] NU ¦ ιωρημ [10%] ¦ eight further spellings [6%]

[c] ματθατ **f**$^{35}$ [76%] CP,HF,RP,TR,OC ¦ μαθθατ 𝔓$^{4}$B [0.5%] NU ¦ ματταθ A [11%] ¦ μαθθαθ א ¦ ματθαν N [6%] ¦ μαθατ [1.5%] ¦ eleven further spellings [5%]

[d] λευι **f**$^{35}$ N [80%] CP,HF,RP,TR,OC,NU ¦ λευει 𝔓$^{4}$אA,B [20%]

[e] ιωναμ **f**$^{35}$ אB [25%] NU ¦ ιωναν [48%] CP,HF,RP,TR ¦ ιωνα OC ¦ ιωαναν A [7%] ¦ ιωανναν [12%] ¦ ιωανα N ¦ seven further spellings [8%]

[f] ελιακειμ *rell* ¦ ελιακιμ N [1%] NU ¦ ελειακειμ [1%] ¦ ελιακημ [1%] ¦ three other spellings

[g] μαιναν **f**$^{35}$ N [93.5%] CP,HF,RP,TR,OC ¦ μεννα 𝔓$^{4v}$אB [1.5%] NU ¦ eight other spellings [5%] ¦ --- A

[h] ναθαν **f**$^{35}$ A,N [99.7%] CP,HF,RP,TR,OC ¦ ναθαμ 𝔓$^{4}$אB,NU

[i] ωβηδ **f**$^{35}$ N [83%] CP,HF,RP,TR,OC ¦ ιωβηδ A [14%] NU ¦ ιωβηλ אB ¦ ωβηλ D ¦ ιωβητ 𝔓$^{4}$ ¦ five other spellings [3%]

[j] βοοζ **f**$^{35}$ [91%] CP,HF,RP,TR,OC ¦ βοος A,B,D [8%] NU ¦ βαλλς א ¦ four other spellings [1%] ¦ --- N

[k] σαλμων **f**$^{35}$ A,N [98%] CP,HF,RP,TR,OC ¦ σαλα 𝔓$^{4}$אB,NU ¦ σαλμαν [1%] ¦ two other variants [0.5%]

[l] αμιναδαβ **f**$^{35}$ A(D) [76%] CP,HF,RP,TR,OC,NU ¦ αμιναδαμ [15%] ¦ αμηναδαβ [5%] ¦ αδαμ א ¦ five other readings [4%] ¦ --- B

[m] αραμ **f**$^{35}$ A,D [95%] CP,HF,RP,TR,OC ¦ 1 του αρνι N ¦ αδμειν του αρνει B ¦ αδμιν του αρνει א ¦ αδμιν του αρνι NU [There are at least four further variations. The available statements of evidence are confusing, but it appears that αδμιν has about 1%, and αδμειν may have up to 4%.]

[n] του ιωραμ **f**$^{35}$ [80%] HF,OC ¦ --- אA,B,N [20%] CP,RP,TR,NU (it$^{b}$ gives us overt V century attestation for 'Joram', though I have demonstrated, to my own satisfaction at least, that **f**$^{35}$ must hark back at least to the III.)

[o] θαρρα **f**$^{35}$ N [40%] CP,HF ¦ θαρα אA,B,D [60%] RP,TR,OC,NU

[p] σερουχ **f**$^{35}$ אA,B(D)N [98%] CP,HF,RP,OC,NU ¦ σαρουχ [2%] TR

[q] ραγαβ **f**$^{35}$ [25%] ¦ ραγαυ אA,B,D,N [70%] CP,HF,RP,TR,OC,NU ¦ six other spellings [5%]

[r] φαλεκ **f**$^{35}$ אA,B,D,N [50%] CP,HF,TR,OC,NU ¦ φαλεγ A [50%] RP

[s] ἑβερ **f**$^{35}$ CP[?],RP,some TRs ¦ ἐβερ HF,OC,some TRs,NU

[t] καιναν **f**$^{35}$ A,N [97%] CP,HF,RP,TR,OC ¦ καιναμ אB [0.5%] NU ¦ three other spellings [2%] ¦ --- D

[u] ἐνωχ **f**$^{35}$ CP,RP,TR,OC ¦ ἑνωχ HF,NU

[v] ιαρεδ **f**$^{35}$ D,N [90%] CP,HF,RP,TR,OC ¦ ιαρετ 𝔓$^{75v}$אB,NU ¦ ιαρεθ A [9.5%]

[w] καιναν **f**$^{35}$ A,B,D,N [99.8%] CP,HF,RP,TR,OC ¦ καιναμ א,NU

## Jesus tested by Satan

**4:1** Ἰησοῦς δέ, πλήρης Πνεύματος Ἁγίου,[x] ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου καὶ ἤγετο
ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον,[y] **2** ἡμέρας τεσσαράκοντα[z] πειραζόμενος ὑπὸ τοῦ
διαβόλου. Καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ συντελεσθεισῶν αὐτῶν
ὕστερον[a] ἐπείνασεν. **3** Καὶ εἶπεν[b] αὐτῷ ὁ διάβολος, «Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ
λίθῳ τούτῳ ἵνα γένηται ἄρτος.» **4** Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτὸν λέγων,[c]
«Γέγραπται ὅτι ‹Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται[d] ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι
Θεοῦ.› »[e]

**5** Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλόν,[f] ἔδειξεν αὐτῷ πάσας τὰς
βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου. **6** Καὶ εἶπεν αὐτῷ ὁ διάβολος· «Σοὶ
δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν, καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ
ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. **7** Σὺ οὖν, ἐὰν προσκυνήσῃς[g] ἐνώπιον ἐμοῦ,[h] ἔσται σοὶ[i]
πᾶσα.»[j] **8** Καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς·[k] «Ὕπαγε ὀπίσω μου, Σατανᾶ·[l]
γέγραπται,[m] ‹Προσκυνήσεις Κύριον τὸν Θεόν σου,[n] καὶ αὐτῷ μόνῳ λατρεύσεις.› »

**9** Καὶ ἤγαγεν[o] αὐτὸν εἰς Ἱερουσαλὴμ[p] καὶ ἔστησεν αὐτὸν[q] ἐπὶ τὸ πτερύγιον τοῦ
ἱεροῦ καὶ εἶπεν αὐτῷ· «Εἰ[r] Υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν[s] κάτω·
**10** γέγραπται γὰρ ὅτι ‹Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε,›
**11** καί,[t] ‹Ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.› »
**12** Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι «Εἴρηται, ‹Οὐκ ἐκπειράσεις Κύριον τὸν
Θεόν σου.› »

---

[x] πληρης πνευματος αγιου **f**$^{35}$ 𝔓$^{4,7,75v}$ℵB,D,N,W [45%] CP,OC,NU ¦ ~ 231 A [55%] HF,RP,TR
[y] εις την ερημον **f**$^{35}$ A,N [99%] CP,HF,RP,TR,OC ¦ εν τη ερημω 𝔓$^{4,7}$ℵB,D,W [1%] NU
[z] τεσσαρακοντα **f**$^{35}$ D [99%] CP,HF,RP,TR,OC ¦ τεσσερακοντα 𝔓$^{7}$A,B,N [1%] NU ¦ μ 𝔓$^{75}$ℵW
[a] υστερον **f**$^{35}$ A,N [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1%] NU
[b] και ειπεν **f**$^{35}$ A,N [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε ℵB,D,W [1%] NU
[c] ιησους προς αυτον λεγων **f**$^{35}$ A [81%] CP,HF,RP,TR ¦ ο 1234 [16%] OC ¦ ~ 23 ο 1 ℵB,W [1.5%] NU ¦ ~ αυτω ο 1 [1%] ¦ ο 1 ειπεν D ¦ two other variants
[d] ζησεται **f**$^{35}$ [80%] CP,HF,RP,OC ¦ 1 ο ℵA,B,D,W [20%] TR,NU
[e] αλλ επι παντι ρηματι (+του 0.4%) θεου **f**$^{35}$ A(D) (90.7%) CP,HF,RP,TR ¦ 1 εν 345 D (1.5%) ¦ 1234 εκπορευομενω δια στοματος 5 (7.3%) OC ¦ --- ℵB,W (0.4%) NU ¦ one other reading (0.1%)
[f] ο διαβολος εις ορος υψηλον **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ 345 (D) [0.5%] ¦ 34 W ¦ --- ℵB [0.2%] NU
[g] προσκυνησης *rell* ¦ προσκυνησεις [15%]
[h] εμου **f**$^{35}$ ℵB,D,W [65%] CP,HF,RP,NU ¦ μου A [35%] TR,OC
[i] σοι **f**$^{35}$ [25%] ¦ σου ℵA,B,D,W [75%] CP,HF,RP,TR,OC,NU
[j] πασα **f**$^{35}$ ℵA,B,D [98%] CP,HF,RP,OC,NU ¦ παντα W [2%] TR [It will be observed that this is the third variant set within the space of four words, and within these sets the attestation varies considerably. In the main, the copyists tried to reproduce faithfully what was in front of them.]
[k] αυτω ειπεν ο ιησους **f**$^{35}$ [68%] CP,HF,RP,TR,OC ¦ ~ 3421 ℵW [12%] NU ¦ ~ 2134 A [13%] ¦ ~ 1342 D [7%] ¦ 124 B ¦ two other variants
[l] υπαγε οπισω μου σατανα **f**$^{35}$ A [96.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [3.5%] NU
[m] γεγραπται **f**$^{35}$ ℵA,B,D,W [80%] CP,HF,RP,NU ¦ 1 γαρ [20%] TR,OC
[n] προσκυνησεις κυριον τον θεον σου **f**$^{35}$ A [80%] CP,HF,RP,TR ¦ ~ 23451 ℵB,D,W [20%] OC,NU
[o] και ηγαγεν **f**$^{35}$ A,D [97%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε ℵB,W [3%] NU
[p] ιερουσαλημ *rell* ¦ ιεροσολυμα [3%] OC
[q] αυτον **f**$^{35}$ A,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ αυτω [1%] ¦ --- ℵB [0.5%] NU
[r] ει *rell* ¦ 1 ο [1%] TR
[s] εντευθεν *rell* ¦ ανωθεν [13%] ¦ ευθεν [1%] ¦ --- [14%]
[t] και **f**$^{35}$ D [75%] CP,HF,RP ¦ 1 οτι ℵA,B,W [25%] TR,OC,NU

**13** Καὶ συντελέσας πάντα πειρασμόν, ὁ διάβολος ἀπέστη ἀπ᾽ αὐτοῦ ἄχρι καιροῦ.

## Jesus begins His public ministry, in Galilee[u]

**4:14** Καὶ ὑπέστρεψεν ὁ[v] Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν, καὶ
φήμη ἐξῆλθεν καθ᾽ ὅλης τῆς περιχώρου περὶ αὐτοῦ· **15** καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς
συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ πάντων.

### *His home town rejects Him*

**16** Καὶ ἦλθεν εἰς τὴν[w] Ναζαρέτ,[x] οὗ ἦν τεθραμμένος· καὶ εἰσῆλθεν, κατὰ τὸ εἰωθὸς
αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι. **17** Καὶ
ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου·[y] καὶ ἀναπτύξας τὸ βιβλίον εὗρεν τὸν
τόπον οὗ ἦν γεγραμμένον· **18** «Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν[z] ἔχρισέν με
εὐαγγελίσασθαι[a] πτωχοῖς. Ἀπέσταλκέν με ἰάσασθαι τοὺς συντετριμμένους τὴν
καρδίαν,[b] κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι
τεθραυσμένους ἐν ἀφέσει, **19** κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν.»

"Today this Scripture is fulfilled"

**20** Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισεν.[c] Καὶ πάντων ἐν τῇ
συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν[d] ἀτενίζοντες αὐτῷ. **21** Ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς
ὅτι «Σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.» **22** (Καὶ πάντες
ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ
τοῦ στόματος αὐτοῦ· καὶ ἔλεγον, «Οὐχ[e] οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ;»)[f] **23** Καὶ εἶπεν
πρὸς αὐτούς· «Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· ‹Ἰατρέ, θεράπευσον
σεαυτόν›—ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ[g] Καπερναοὺμ[h] ποίησον καὶ ὧδε[i] ἐν τῇ
πατρίδι σου.»

---

[u] [A number of months elapsed between verses 13 and 14; John 1:15-4:42 records some of what transpired during that interval.]

[v] ο **f**$^{35}$ ℵA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ --- [45%]

[w] την **f**$^{35}$ A [90%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [10%] NU

[x] ναζαρετ **f**$^{35}$ [60%] CP,HF,RP,TR,OC ¦ ναζαρεθ W [40%] ¦ ναζαρα ℵB [0.3%] NU ¦ ναζαρατ A [0.2%]

[y] ησαιου του προφητου **f**$^{35}$ A [98%] CP,HF,RP,TR,OC ¦ ~ 231 ℵB,W [1.5%] NU ¦ ο προφητης ησαιας D ¦ one other variant

[z] εινεκεν **f**$^{35}$ ℵA,B,D,W [94%] CP,HF,RP,OC,NU ¦ ενεκεν [6%] TR

[a] ευαγγελισασθαι *rell* ¦ ευαγγελιζεσθαι [1%] TR

[b] ιασασθαι τους συντετετριμμενους την καρδιαν **f**$^{35}$ A [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.5%] NU

[c] εκαθισεν *rell* ¦ εκαθησεν [11%]

[d] εν τη συναγωγη οι οφθαλμοι ησαν **f**$^{35}$ D,N [88%] CP,HF,RP,TR,OC ¦ ~ 123645 A [6%] ¦ ~ 451236 ℵB,W [6%] NU

[e] ουχ **f**$^{35}$ A [97.5%] CP,HF,RP,TR,OC ¦ ουχι ℵB,D,N,W [2.5%] NU

[f] ουτος εστιν ο υιος ιωσηφ **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ ~ 4251 ℵB,W [0.5%] NU ¦ ~ 4521 D ¦ ~ 4125 N ¦ two other variants

[g] εν τη **f**$^{35}$ [80%] CP,HF,RP,TR,OC ¦ 1 A,N [19%] ¦ εις την ℵB,W [0.3%] NU ¦ εις D [1%]

[h] καπερναυμ **f**$^{35}$ A,N [99%] CP,HF,RP,TR,OC ¦ καφαρναυμ ℵB,D,W [0.8%] NU

[i] ὧδε [60%] ¦ ῷδε **f**$^{35}$ [40%] (I include this information for the record, and so as not to lose sight of it; since there is no contrast in meaning here, and I am not aware that the Autographs contained 'breathing' marks, I stay with the conventional spelling. However, it may be noted that the difference between ῷ δε ('so to whom') and ὧδε ('here') would be indistinct in most MSS; the simple expedient reflected in **f**$^{35}$ resolves the ambiguity.)

Jesus treads on their toes

**24** Εἶπεν δέ· «Ἀμὴν λέγω ὑμῖν[j] ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι
αὐτοῦ. **25** Ἐπ᾽ ἀληθείας δὲ λέγω ὑμῖν,[k] πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλίου ἐν
τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας
ἐπὶ πᾶσαν τὴν γῆν· **26** καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα[l]
τῆς Σιδῶνος,[m] πρὸς γυναῖκα χήραν. **27** Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου[n] τοῦ
προφήτου ἐν τῷ Ἰσραήλ·[o] καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ μὴ Νεεμὰν[p] ὁ Σύρος.»

Atypical mob action

**28** Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα, **29** καὶ
ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως καὶ ἤγαγον αὐτὸν ἕως[q] ὀφρύος τοῦ
ὄρους ἐφ᾽ οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο,[r] εἰς τὸ[s] κατακρημνίσαι αὐτόν. **30** Αὐτὸς δέ,
διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

*Capernaum becomes His base of operations—27 AD*

**31** Καὶ κατῆλθεν[t] εἰς Καπερναούμ,[u] πόλιν τῆς Γαλιλαίας· καὶ ἦν διδάσκων αὐτοὺς
ἐν τοῖς σάββασιν. **32** Καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ
λόγος αὐτοῦ.

A demonized man

**33** Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου· καὶ
ἀνέκραξεν φωνῇ μεγάλῃ **34** λέγων·[v] «Ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Ἦλθες
ἀπολέσαι ἡμᾶς; Οἶδά σε τίς εἶ, ὁ Ἅγιος τοῦ Θεοῦ.» **35** Καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς
λέγων, «Φιμώθητι, καὶ ἔξελθε ἐξ[w] αὐτοῦ.» Καὶ ῥῖψαν αὐτὸν τὸ δαιμόνιον εἰς[x] μέσον,
ἐξῆλθεν ἀπ᾽ αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. **36** Καὶ ἐγένετο θάμβος ἐπὶ πάντας, καὶ
συνελάλουν πρὸς ἀλλήλους λέγοντες· «Τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει
ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασιν, καὶ ἐξέρχονται.» **37** Καὶ ἐξεπορεύετο ἦχος περὶ
αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου.

---

[j] λεγω υμιν **f**$^{35}$ ℵB,D,N,W [72%] CP,HF,RP,TR,OC,NU ¦ ~ 21 A [28%]
[k] υμιν *rell* ¦ 1 οτι ℵW [25%]
[l] σαρεπτα *rell* ¦ σαρεφθα N [11%] ¦ σαραπτα W [3%] OC ¦ seven other spellings [3%]
[m] σιδωνος **f**$^{35}$ [95%] CP,HF,RP,TR ¦ σιδωνιας ℵA,C [3%] OC,NU ¦ σειδωνιας B,W ¦ σιδονιας D [1%] ¦ two other variants [0.5%]
[n] ελισσαιου **f**$^{35}$ C [86%] CP,HF,RP,TR ¦ ελισαιου ℵA(B)D [13%] OC,NU ¦ ελεισεου W ¦ three other readings
[o] επι ελισσαιου του προφητου εν τω ισραηλ **f**$^{35}$ A [95%] CP,HF,RP,TR,OC ¦ ~ 5671234 ℵB,C,D,W [5%] NU
[p] νεεμαν **f**$^{35}$ [77%] CP,HF,RP,TR,OC ¦ ναιμαν ℵA,B,C(D)W [8%] NU ¦ νεεμμαν [13%] ¦ six other spellings [2%]
[q] εως **f**$^{35}$ ℵA,B,C [97.5%] CP,HF,RP,OC,NU ¦ 1 της D [1.5%] TR ¦ 1 του [1%]
[r] αυτων ωκοδομητο **f**$^{35}$ A,C [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{4}$ℵB(D)W [1.5%] NU
[s] εις το **f**$^{35}$ A,C [95%] CP,HF,RP,TR,OC ¦ ωστε 𝔓$^{4v}$ℵB,D,W [3%] NU ¦ two other variants [2%]
[t] κατηλθεν *rell* ¦ 1 ο ιησους [14%]
[u] καπερναυμ **f**$^{35}$ A,C [99.4%] CP,HF,RP,TR,OC ¦ καφαρναυμ 𝔓$^{4}$ℵB,D,W [0.6%] NU
[v] λεγων **f**$^{35}$ A,C,D [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [1%] NU
[w] εξ **f**$^{35}$ 𝔓$^{75}$A,C,Q [86%] CP,HF,RP,TR,OC ¦ απ ℵB,D,W [14%] NU
[x] εις **f**$^{35}$ D [80%] CP,HF,RP ¦ 1 το 𝔓$^{75}$ℵA,B,C,Q,W [20%] TR,OC,NU

Peter’s mother-in-law

**38** Ἀναστὰς δὲ ἐκ[y] τῆς συναγωγῆς[z] εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος. Πενθερὰ δὲ[a]
τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. **39** Καὶ
ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησεν τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν. Παραχρῆμα δὲ
ἀναστᾶσα διηκόνει αὐτοῖς.

Healings at sunset

**40** Δύνοντος[b] δὲ τοῦ ἡλίου, πάντες[c] ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις
ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιθεὶς[d] ἐθεράπευσεν[e]
αὐτούς. **41** Ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν, κράζοντα[f] καὶ λέγοντα ὅτι «Σὺ εἶ
ὁ Χριστός,[g] ὁ Υἱὸς τοῦ Θεοῦ.» Καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν
Χριστὸν αὐτὸν εἶναι.

**42** Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον· καὶ οἱ ὄχλοι
ἐζήτουν[h] αὐτὸν καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾽
αὐτῶν. **43** Ὁ δὲ εἶπεν πρὸς αὐτοὺς ὅτι «Καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με
δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ, ὅτι εἰς[i] τοῦτο ἀπέσταλμαι.»[j] **44** Καὶ ἦν κηρύσσων ἐν ταῖς
συναγωγαῖς[k] τῆς Γαλιλαίας.[l]

*By the sea*

**5:1** Ἐγένετο δέ, ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ[m] ἀκούειν τὸν λόγον τοῦ
Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς περὶ[n] τὴν λίμνην Γενησαρέτ,[o] **2** καὶ εἶδεν[p] δύο πλοῖα
ἑστῶτα παρὰ τὴν λίμνην (οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾽ αὐτῶν,[q] ἀπέπλυναν[r] τὰ δίκτυα).

---

[y] εκ **f**$^{35}$ A [96%] CP,HF,RP,TR,OC ¦ απο 𝔓$^{75}$אB,C,D,N,Q,W [4%] NU

[z] συναγωγης *rell* ¦ 1 ο ιησους [12%]

[a] πενθερα δε **f**$^{35}$ אA,B,D,N,Q [83%] CP,HF,RP,OC,NU ¦ ~ η 21 C [5%] ¦ η 12 W [12%] TR

[b] δυνοντος *rell* ¦ δυναντος [17%] ¦ δυσαντος D

[c] παντες **f**$^{35}$ אA,D,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ απαντες B,C [1%] NU

[d] επιθεις **f**$^{35}$ אA,C,N [94%] CP,HF,RP,TR ¦ επιτιθεις B,D,Q,W [6%] OC,NU

[e] εθεραπευσεν **f**$^{35}$ אA,C,N,Q [96%] CP,HF,RP,TR,OC ¦ εθεραπευεν B,D,W [4%] NU

[f] κραζοντα **f**$^{35}$ B,C,N,Q [66%] CP,HF,RP,TR ¦ κραυγαζοντα A,D,W [34%] OC[NU] ¦ κραζοντων א

[g] ο χριστος **f**$^{35}$ A,N,Q [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,C,D,W [1.5%] NU

[h] εζητουν **f**$^{35}$ [40%] CP,TR ¦ επεζητουν 𝔓$^{75v}$אA,B,C,D,Q,W [60%] HF,RP,OC,NU

[i] εις **f**$^{35}$ A,C(D)Q [98.5%] CP,HF,RP,TR,OC ¦ επι 𝔓$^{75}$אB,W [1.5%] NU

[j] απεσταλμαι **f**$^{35}$ A,Q [95%] CP,HF,RP,TR,OC ¦ απεσταλην 𝔓$^{75}$אB,C,D,W [5%] NU

[k] εν ταις συναγωγαις **f**$^{35}$ A,C (97.1%) CP,HF,RP,TR ¦ 23 (0.7%) ¦ 1 τη συναγωγη (0.2%) ¦ εις τας συναγωγας 𝔓$^{75}$אB,D,Q,W (1.8%) OC,NU ¦ long omissions (0.1%)

[l] της γαλιλαιας **f**$^{35}$ A,D (94.7%) CP,HF,RP,TR,OC ¦ 1 ιουδαιας 𝔓$^{75}$אB,C,Q (4.1%) NU ¦ των ιουδαιων W (0.2%) ¦ αυτων (0.5%) ¦ conflations (0.2%) ¦ long omissions (0.1%) ¦ two other variants (0.1%) [Comparing this variant set with the prior one, there are a variety of ‘conflations’—εις τας συναγωγας της ιουδαιας is read by only 0.8%, which number includes 𝔓$^{75}$אB,Q.]

[m] του **f**$^{35}$ C,D,Q [97.5%] CP,HF,RP,TR,OC ¦ και 𝔓$^{75}$(א)A,B,W [2.5%] NU

[n] περι **f**$^{35}$ [18%] ¦ παρα 𝔓$^{75}$אA,B,D,Q,W [82%] CP,HF,RP,TR,OC,NU

[o] γενησαρετ **f**$^{35}$ [29%] ¦ γεννησαρετ 𝔓$^{75}$אA,B,C,Q,W [60%] CP,HF,RP,TR,OC,NU ¦ γεννησαρεθ [9%] ¦ γεννησαρεδ D ¦ two other spellings [2%]

[p] ειδεν *rell* ¦ ιδε A,C,D,Q [11%] ¦ four other variants [4%]

[q] αναβαντες απ αυτων **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓$^{75}$B,C,D,Q,W [1%] NU ¦ ~ 31 א

[r] απεπλυναν **f**$^{35}$ A [90%] CP,HF,RP,TR,OC ¦ επεπλυνον [7%] ¦ επλυναν אC,Q [2%] ¦ επλυνον B,D,W [1%] NU

**3** Ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ[s] Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς
ἐπαναγαγεῖν ὀλίγον. Καὶ καθίσας[t] ἐδίδασκεν ἐκ τοῦ πλοίου[u] τοὺς ὄχλους.

*A miraculous catch*

**4** Ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπεν πρὸς τὸν Σίμωνα, «Ἐπανάγαγε εἰς τὸ βάθος καὶ
χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν.» **5** Καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ,[v]
«Ἐπιστάτα, δι᾽ ὅλης τῆς[w] νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν, ἐπὶ δὲ τῷ ῥήματί σου
χαλάσω τὸ δίκτυον.»[x] **6** Καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων[y] πολύ,
διερρήγνυτο[z] δὲ τὸ δίκτυον[a] αὐτῶν. **7** Καὶ κατένευσαν τοῖς μετόχοις τοῖς[b] ἐν τῷ ἑτέρῳ
πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα,
ὥστε βυθίζεσθαι αὐτά. **8** Ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσεν τοῖς γόνασιν[c] Ἰησοῦ
λέγων, «Ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε.» **9** Θάμβος γὰρ
περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ[d] συνέλαβον·
**10** ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ
Σίμωνι. Καὶ εἶπεν πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς, «Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους
ἔσῃ ζωγρῶν.» **11** Καὶ καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες ἅπαντα[e]
ἠκολούθησαν αὐτῷ.

## The hinge: proof, evaluation, rejection

*A leper—the proof*

**5:12** Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πόλεων, καὶ ἰδού, ἀνὴρ πλήρης
λέπρας· καὶ ἰδὼν[f] τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον ἐδεήθη αὐτοῦ λέγων, «Κύριε, ἐὰν
θέλῃς, δύνασαί με καθαρίσαι.» **13** Καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ εἰπών,[g]
«Θέλω· καθαρίσθητι.» Καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ᾽ αὐτοῦ. **14** Καὶ αὐτὸς
παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν, «Ἀλλὰ[h] ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ καὶ
προσένεγκαι[i] περὶ τοῦ καθαρισμοῦ σου καθὼς προσέταξεν Μωσῆς,[j] εἰς μαρτύριον
αὐτοῖς.»

---

[s] του **f**35 A,C,Q [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75אB,D,W [1%] NU
[t] και καθισας **f**35 A,C,D [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε 𝔓75אB,Q,W [0.5%] NU
[u] εδιδασκεν εκ του πλοιου **f**35 A,C,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2341 𝔓75B [1%] NU ¦ ~ εν τω πλοιω 1 אD
[v] ο σιμων ειπεν αυτω **f**35 A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ 23 𝔓75B,NU ¦ ~ 32 א ¦ four other variants D [1%]
[w] της **f**35 C,D [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75אA,B,W [1%] NU
[x] το δικτυον **f**35 A,C [98%] CP,HF,RP,TR,OC ¦ τα δικτυα 𝔓75אB,W [2%] NU ¦ D is wild
[y] πληθος ιχθυων *rell* ¦ ~ 21 D [2.5%] TR
[z] διερρηγνυτο **f**35 (A) [99%] CP,HF,RP,TR,OC ¦ διερρησσετο 𝔓75א(B) [0.5%] NU ¦ διερρητο C ¦ διερρησοντο W ¦ ρησσεσθαι D
[a] το δικτυον **f**35 A,C [98.5%] CP,HF,RP,TR,OC ¦ τα δικτυα 𝔓4,75אB(D)W [1.5%] NU
[b] τοις **f**35 A,C [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75אB,D,W [1%] NU
[c] γονασιν **f**35 𝔓4,75אB(D)W [85%] CP,HF,RP,OC,NU ¦ 1 του A,C [15%] TR
[d] η **f**35 אA,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ ων 𝔓75B,D [0.5%] NU
[e] απαντα **f**35 A,C,W [96%] CP,HF,RP,TR,OC ¦ παντα אB(D) [4%] NU
[f] και ιδων **f**35 A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε אB [1%] NU
[g] ειπων **f**35 A,N [98%] CP,HF,RP,TR,OC ¦ λεγων אB,C,D,W [2%] NU
[h] αλλα *rell* ¦ αλλ [17%]
[i] προσενεγκαι **f**35 א [30%] ¦ προσενεγκε A,B,C,D,N,W [70%] CP,HF,RP,TR,OC,NU
[j] μωσης **f**35 A [74%] CP,HF,RP,TR ¦ μωυσης אB,C(D)N,W [26%] OC,NU

**15** Διήρχετο δὲ μᾶλλον ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι ὑπ᾽ αὐτοῦ[k] ἀπὸ τῶν ἀσθενειῶν[l] αὐτῶν. **16** Αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος.

*An examining council—the evaluation*

**17** Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν[m] διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ Ἱερουσαλήμ—καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι αὐτούς.[n]

"Your sins are forgiven"

**18** Καὶ ἰδού, ἄνδρες φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι[o] ἐνώπιον αὐτοῦ. **19** Καὶ μὴ εὑρόντες πῶς[p] εἰσενέγκωσιν αὐτόν, διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ μέσον, ἔμπροσθεν τοῦ Ἰησοῦ. **20** Καὶ ἰδὼν τὴν πίστιν αὐτῶν εἶπεν αὐτῷ,[q] «Ἄνθρωπε, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου.»

A 'discussion' ensues

**21** Καὶ ἤρξαντο διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι λέγοντες· «Τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας; Τίς δύναται ἀφιέναι ἁμαρτίας[r] εἰ μὴ μόνος ὁ Θεός;» **22** Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογισμοὺς αὐτῶν, ἀποκριθεὶς εἶπεν πρὸς αὐτούς· «Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; **23** Τί ἐστιν εὐκοπώτερον εἰπεῖν, ‹Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου,› ἢ εἰπεῖν, ‹Ἔγειραι[s] καὶ περιπάτει›; **24** Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ Ἀνθρώπου[t] ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας»—εἶπεν τῷ παραλελυμένῳ·[u] «Σοὶ λέγω, ἔγειραι,[v] καὶ ἄρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου.»

God is glorified

**25** Καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἄρας ἐφ᾽ ᾧ[w] κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν Θεόν. **26** Καὶ ἔκστασις ἔλαβεν ἅπαντας καὶ ἐδόξαζον τὸν Θεόν· καὶ ἐπλήσθησαν φόβου λέγοντες ὅτι «Εἴδομεν παράδοξα σήμερον.»

---

[k] ὑπ (απ A) αυτου **f**[35] (A)N [97.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,C,D,W [2.5%] NU

[l] ασθενειων *rell* ¦ ασθενιων ℵN,W [14%]

[m] ην *rell* ¦ 1 ο ιησους [11%]

[n] αυτους **f**[35] A,C,D,N (98.4%) CP,HF,RP,TR,OC ¦ αυτον ℵB,W (0.9%) NU ¦ eight other variants (0.7%) (Why would the editors of NU choose such an inferior reading?)

[o] θειναι **f**[35] ℵA,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 αυτον B [1%] [NU]

[p] πως **f**[35] [35%] ¦ ποιας ℵA,B,C,D,N,W [57%] CP,HF,RP,OC,NU ¦ ποθεν [4%] ¦ δια ποιας [2%] TR ¦ ποιας οδου [2%]

[q] αυτω **f**[35] A,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ τω παραλυτικω C,D [3%] ¦ τω ανθρωπω [0.5%] ¦ --- ℵB [1%] NU

[r] αφιεναι αμαρτιας **f**[35] ℵA,C,N(W) [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 [0.8%] ¦ ~ 2 αφειναι B,D [0.2%] NU

[s] εγειραι **f**[35] [55%] CP,HF,RP,TR ¦ εγειρε ℵA,B,C,D,N,W [45%] OC,NU

[t] εξουσιαν εχει ο υιος του ανθρωπου **f**[35] ℵA,C,D,N [91%] CP,HF,RP,TR,OC ¦ ~ 345612 B,W [9%] NU

[u] παραλελυμενω *rell* ¦ παραλυτικω ℵC,D,N,W [11%]

[v] εγειραι **f**[35] [55%] CP,HF,RP,TR ¦ εγειρε ℵA,B,C,D,N,W [45%] OC,NU

[w] ω **f**[35] [58%] CP,TR ¦ ο ℵA,B,C,N,W [42%] HF,RP,OC,NU ¦ D is wild

## *Enter Levi (Matthew)*

**27** Καὶ μετὰ ταῦτα ἐξῆλθεν καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευῒν[x] καθήμενον ἐπὶ
τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ, «Ἀκολούθει μοι.» **28** Καὶ καταλιπὼν[y] ἅπαντα[z] ἀναστὰς
ἠκολούθησεν[a] αὐτῷ. **29** Καὶ ἐποίησεν δοχὴν μεγάλην[b] Λευὶς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ·
καὶ ἦν ὄχλος τελωνῶν πολὺς[c] καὶ ἄλλων οἳ ἦσαν μετ᾽ αὐτῶν κατακείμενοι.

### The Pharisees have a problem

**30** Καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν, καὶ οἱ Φαρισαῖοι,[d] πρὸς τοὺς μαθητὰς
αὐτοῦ λέγοντες, «Διὰ τί μετὰ τῶν[e] τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε;»
**31** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτούς· «Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες
ἰατροῦ, ἀλλ᾽[f] οἱ κακῶς ἔχοντες. **32** Οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ
ἁμαρτωλούς, εἰς μετάνοιαν.»

**33** Οἱ δὲ εἶπον[g] πρὸς αὐτόν, «Διὰ τί[h] οἱ μαθηταὶ Ἰωάννου νηστεύουσιν πυκνὰ καὶ
δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσιν καὶ πίνουσιν;»
**34** Ὁ δὲ[i] εἶπεν πρὸς αὐτούς· «Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος ἐν ᾧ ὁ νυμφίος
μετ᾽ αὐτῶν ἐστιν ποιῆσαι νηστεύειν;[j] **35** Ἐλεύσονται δὲ ἡμέραι[k] ὅταν ἀπαρθῇ ἀπ᾽
αὐτῶν ὁ νυμφίος· τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις.»

### New wine vs. old wineskins

**36** Ἔλεγεν δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι «Οὐδεὶς ἐπίβλημα[l] ἱματίου καινοῦ[m]
ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μή γε, καὶ τὸ καινὸν σχίζει[n] καὶ τῷ παλαιῷ οὐ
συμφωνεῖ[o] τὸ ἀπὸ τοῦ καινοῦ. **37** Καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς·
εἰ δὲ μή γε, ῥήξει ὁ νέος οἶνος[p] τοὺς ἀσκούς, καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ
ἀπολοῦνται. **38** Ἀλλὰ[q] οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι

---

[x] λευιν *rell* ¦ λευι [10%] ¦ λευειν אA,B,C,N,W [4%] ¦ λευει (D) [1%]

[y] καταλιπων *rell* ¦ καταλειπων A [12%]

[z] απαντα **f**$^{35}$ A [93%] CP,HF,RP,TR,OC ¦ απαντας א ¦ παντας C ¦ παντα B,D,N,W [2%] NU ¦ --- [5%]

[a] ηκολουθησεν **f**$^{35}$ אA,C,N [99.3%] CP,HF,RP,TR,OC ¦ ηκολουθει B,D,W [0.7%] NU

[b] μεγαλην *rell* ¦ 1 ο [1.5%] TR

[c] τελωνων πολυς **f**$^{35}$ A [95%] CP,HF,RP,TR,OC ¦ ~ 21 אB,C,D,N,W [5%] NU

[d] γραμματεις αυτων και οι φαρισαιοι **f**$^{35}$ A,N [98%] CP,HF,RP,TR,OC ¦ ~ 53412 (B)C,W [1%] NU ¦ 1345 [1%] ¦ ~ 5341 א(D) (Render, “the scribes and Pharisees complained about them to His disciples.”)

[e] των **f**$^{35}$ אA,B,C,D,N,W [70%] CP,HF,RP,OC,NU ¦ --- [30%] TR

[f] αλλ *rell* ¦ αλλα A,B,W [0.4%] NU

[g] ειπον *rell* ¦ ειπαν 𝔓$^{4}$B,C,D,N,W [0.7%] NU

[h] δια τι **f**$^{35}$ אA,C,D,N [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{4}$B,W [1%] NU

[i] δε **f**$^{35}$ A [91%] CP,HF,RP,TR,OC ¦ 1 ιησους 𝔓$^{4}$אB,C,D,W [9%] NU

[j] νηστευειν **f**$^{35}$ אA,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ νηστευσαι B [1%] NU

[k] ημεραι **f**$^{35}$ אC [25%] ¦ 1 και 𝔓$^{4}$A,B,D,W [75%] CP,HF,RP,TR,OC,NU

[l] επιβλημα **f**$^{35}$ A,C [97%] CP,HF,RP,TR,OC ¦ 1 απο 𝔓$^{4}$אB,D,W [3%] NU

[m] καινου **f**$^{35}$ A,C [98%] CP,HF,RP,TR,OC ¦ 1 σχισας 𝔓$^{4}$אB,D,W [2%] NU

[n] σχιζει **f**$^{35}$ A [97%] CP,HF,RP,TR ¦ σχισει אB,C,D,W [2%] OC,NU ¦ σχιζεται [1%]

[o] συμφωνει **f**$^{35}$ [79%] CP,HF,RP ¦ 1 επιβλημα (D) [1%] TR ¦ 1 το επιβλημα [18%] OC ¦ συμφωνησει το επιβλημα 𝔓$^{4}$אB,C,W [2%] NU ¦ συμφωνησει A

[p] ο νεος οινος **f**$^{35}$ A [84%] CP,HF,RP,TR ¦ ~ 1312 𝔓$^{4}$B,C,D,W [15%] OC,NU ¦ 13 א [1%]

[q] αλλα *rell* ¦ αλλ B,C [40%]

συντηροῦνται.[r] **39** Καὶ[s] οὐδεὶς πιὼν παλαιὸν εὐθέως[t] θέλει νέον, λέγει γάρ, ‹Ὁ
παλαιὸς χρηστότερός[u] ἐστιν.› »

### *Jesus is Lord of the Sabbath*

**6:1** Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ[v] διαπορεύεσθαι αὐτὸν διὰ τῶν[w]
σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας καὶ ἤσθιον,[x] ψώχοντες ταῖς
χερσίν. **2** Τινὲς δὲ τῶν Φαρισαίων εἶπον αὐτοῖς,[y] «Τί ποιεῖτε ὃ οὐκ ἔξεστιν ποιεῖν[z] ἐν[a]
τοῖς σάββασιν;» **3** Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς·[b] «Οὐδὲ τοῦτο
ἀνέγνωτε, ὃ ἐποίησεν Δαυὶδ ὁπότε[c] ἐπείνασεν, αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ ὄντες·[d] **4** ὡς[e]
εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβεν καὶ[f] ἔφαγεν,
καὶ ἔδωκεν καὶ[g] τοῖς μετ᾽ αὐτοῦ—οὓς οὐκ ἔξεστιν φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς;»
**5** Καὶ ἔλεγεν αὐτοῖς ὅτι[h] «Κύριός ἐστιν ὁ Υἱὸς τοῦ Ἀνθρώπου καὶ τοῦ σαββάτου.»[i]

### He heals on the Sabbath

**6** Ἐγένετο δὲ καὶ[j] ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ
διδάσκειν. Καὶ ἦν ἐκεῖ ἄνθρωπος,[k] καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. **7** Παρετήρουν[l]
δὲ[m] οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, εἰ[n] τῷ σαββάτῳ θεραπεύσει,[o] ἵνα εὕρωσιν
κατηγορίαν[p] αὐτοῦ.[q] **8** Αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν καὶ εἶπεν[r] τῷ

---

[r] και αμφοτεροι συντηρουνται **f**[35] A,C(D) (98.6%—of which 1.7% have minor variations) CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4](א)B(W) (1.2%) NU ¦ long omissions (0.2%)

[s] και **f**[35] אA,C,W [99.6%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**[4]B [0.4%] ¦ D omits verse 39

[t] ευθεως **f**[35] A [96.5%] CP,HF,RP,TR,OC ¦ ευθυς [2%] ¦ --- **𝔓**[4]אB,C,W [1.5%] NU

[u] χρηστοτερος **f**[35] A,C [99%] CP,HF,RP,TR,OC ¦ χρηστος **𝔓**[4]אB,W [1%] NU

[v] δευτεροπρωτω **f**[35] A,C,D (92.1%) CP,HF,RP,TR,OC ¦ δευτερω πρωτω (6%) ¦ --- **𝔓**[4]אB,W (1.6%) NU ¦ four other variants (0.2%)

[w] των **f**[35] C,D [88%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]אA,B,W [12%] NU

[x] τους σταχυας και ησθιον **f**[35] A(D)W [98%] CP,HF,RP,TR,OC ¦ ~ 3412 **𝔓**[4,75v]B,C [2%] NU ¦ 234 א

[y] αυτοις **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ αυτω D [1%] ¦ --- **𝔓**[4]אB,C,W [1.5%] NU ¦ two other variants

[z] ποιειν **f**[35] אA,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]B [0.5%] NU ¦ D is wild ¦ three other variants

[a] εν **f**[35] A,C [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]אB,W [5%] NU

[b] προς αυτους ειπεν ο ιησους **f**[35] **𝔓**[75v]C [80%] CP,HF,RP,TR,OC,NU ¦ ~ 45312 A [12%] ¦ ~ 45123 אW [4%] ¦ ~ 31245 [1%] ¦ 1235 **𝔓**[4]B ¦ ~ 453 αυτους [0.5%] ¦ ~ 45 ελεγεν 12 D ¦ ~ 453 [2%]

[c] οποτε **f**[35] A [89%] CP,HF,RP,TR,OC ¦ οτε **𝔓**[4]אB,C,D,W [11%] NU

[d] οντες **f**[35] A,C [96.5%] CP,HF,RP,TR,OC[NU] ¦ παντες [1%] ¦ --- **𝔓**[4]אB,D,W [2.5%]

[e] ως **f**[35] אA,C [93%] CP,HF,RP,TR,OC[NU] ¦ πως [7%] ¦ --- **𝔓**[4]B,D

[f] ελαβεν και **f**[35] A [85%] CP,HF,RP,TR,OC ¦ λαβων B,C [0.5%] NU ¦ --- אD,W [14.5%]

[g] και **f**[35] אA,D [97.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]B,W [2.5%] NU

[h] οτι **f**[35] A(D) [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[4]אB,W [2%] NU

[i] ο υιος του ανθρωπου και του σαββατου **f**[35] A(D) [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 671234 אB,W [0.3%] NU

[j] και **f**[35] A [86%] HF,RP,TR,OC ¦ --- **𝔓**[4]אB,W [14%] CP,NU ¦ D is wild

[k] εκει ανθρωπος **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**[4]אB,W [3%] NU ¦ 2 D

[l] παρετηρουν **f**[35] א [89%] CP,HF,RP,TR,OC ¦ παρετηρουντο **𝔓**[4]A,B,D [11%] NU

[m] δε **f**[35] A [93%] CP,HF,RP,OC ¦ 1 αυτον **𝔓**[4]אB,D,W [7%] TR,NU

[n] ει **f**[35] D [25%] ¦ 1 εν **𝔓**[4]אA,B,D,W [75%] CP,HF,RP,TR,OC,NU

[o] θεραπευσει **f**[35] **𝔓**[4]B [97%] CP,HF,RP,TR,OC ¦ θεραπευει אA,D,W [3%] NU

[p] κατηγοριαν **f**[35] A,W [93%] CP,HF,RP,TR,OC ¦ κατηγορειν **𝔓**[4]אB [7%] NU ¦ κατηγορησαι D

[q] αυτου *rell* ¦ κατ 1 W [15%]

[r] και ειπεν **f**[35] A [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε **𝔓**[4]אB,W [3%] NU ¦ 2 [0.5%] ¦ λεγει D

ἀνθρώπῳ[s] τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα, «Ἔγειραι[t] καὶ στῆθι εἰς τὸ μέσον.» Ὁ δὲ[u]
ἀναστὰς ἔστη. **9** Εἶπεν οὖν[v] ὁ Ἰησοῦς πρὸς αὐτούς· «Ἐπερωτήσω[w] ὑμᾶς τι·[x] Ἔξεστιν
τοῖς σάββασιν[y] ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι;»[z,a] **10** Καὶ
περιβλεψάμενος πάντας αὐτοὺς[b] εἶπεν αὐτῷ,[c] «Ἔκτεινον τὴν χεῖρά σου.» Ὁ δὲ
ἐποίησεν οὕτως[d] καὶ ἀποκατεστάθη[e] ἡ χεὶρ αὐτοῦ, ὑγιὴς ὡς ἡ ἄλλη.[f]

*The rejection*

**11** Αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν[g] πρὸς ἀλλήλους τί ἂν ποιήσειαν[h]
τῷ Ἰησοῦ.

*Choosing the Twelve*

**12** Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξῆλθεν[i] εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν
διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ. **13** Καὶ ὅτε ἐγένετο ἡμέρα προσεφώνησεν
τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐκλεξάμενος ἀπ’ αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους
ὠνόμασεν·[j] **14** Σίμωνα (ὃν καὶ ὠνόμασεν Πέτρον) καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ,[k]
Ἰάκωβον καὶ Ἰωάννην,[l] Φίλιππον καὶ Βαρθολομαῖον,[m] **15** Ματθαῖον[n] καὶ Θωμᾶν,[o]
Ἰάκωβον (τὸν τοῦ[p] Ἀλφαίου) καὶ Σίμωνα (τὸν καλούμενον Ζηλωτήν),[q] **16** Ἰούδαν
Ἰακώβου καὶ Ἰούδαν Ἰσκαριώτην[r] (ὃς καὶ[s] ἐγένετο προδότης).

---

[s] ανθρωπω **f**$^{35}$ A,W [97%] CP,HF,RP,TR,OC ¦ ανδρι **𝔓**$^{4}$אB [3%] NU ¦ --- D
[t] εγειραι **f**$^{35}$ [55%] CP,HF,RP,TR ¦ εγειρε **𝔓**$^{4}$אA,B,W [45%] OC,NU ¦ εγειρου D
[u] ο δε **f**$^{35}$ A [96%] CP,HF,RP,TR,OC ¦ και **𝔓**$^{4}$אB,D,W [4%] NU
[v] ουν **f**$^{35}$ A [97.5%] CP,HF,RP,TR,OC ¦ δε **𝔓**$^{4}$אB,D,W [2.5%] NU
[w] επερωτησω **f**$^{35}$ A,D [99.2%] CP,HF,RP,TR,OC ¦ επερωτω **𝔓**$^{4}$אB,W [0.4%] NU ¦ ερωτησω [0.4%]
[x] τι **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ ει **𝔓**$^{4}$אB,D,W [1%] NU
[y] τοις σαββασιν **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ τω σαββατω **𝔓**$^{4}$אB,D,W [1%] NU
[z] αποκτειναι **f**$^{35}$ A [90%] CP,HF,RP,OC ¦ απολεσαι **𝔓**$^{4}$אB,D,W [10%] TR,NU
[a] αποκτειναι *rell* ¦ 1 οι δε εσιωπων D [15%]
[b] αυτους *rell* ¦ 1 εν οργη D [10%] ¦ 1 μετ οργης [1%]
[c] αυτω **f**$^{35}$ **𝔓**$^{4}$A,B [90%] CP,HF,RP,OC,NU ¦ τω ανθρωπω אD,W [10%] TR
[d] εποιησεν ουτως **f**$^{35}$ [42%] CP,TR ¦ 1 **𝔓**$^{4}$A,B [54.5%] HF,RP,OC,NU ¦ εξετεινεν אD,W [3.5%]
[e] αποκατεσταθη **f**$^{35}$ **𝔓**$^{4}$B [55%] CP,HF,RP,TR,OC ¦ απεκατεσταθη A,D,W [44%] NU ¦ απεκατεστη א [1%]
[f] υγιης ως η αλλη **f**$^{35}$ [80%] CP,HF,RP,TR ¦ 234 A,D,Q [18%] OC ¦ 12 και 34 D [1.5%] ¦ 1 W ¦ --- **𝔓**$^{4,75v}$אB [0.5%] NU
[g] διελαλουν *rell* ¦ ελαλουν **𝔓**$^{4}$ [15%] ¦ διαλογιζοντο D ¦ one other variant
[h] ποιησειαν **f**$^{35}$ **𝔓**$^{4}$ [91%] CP,HF,RP,TR,OC ¦ ποιησαιεν **𝔓**$^{75}$B [6%] NU ¦ ποιησειεν A,W [0.5%] ¦ ποιησιεν א ¦ five other variants D [2%]
[i] εξηλθεν **f**$^{35}$ Q [97%] CP,HF,RP,TR,OC ¦ εξελθειν αυτον **𝔓**$^{4,75}$אA,B,D,W [3%] NU
[j] ωνομασεν *rell* ¦ ονομασε [15%] ¦ εκαλεσε D
[k] αυτου **f**$^{35}$ A,Q [92%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**$^{4,75}$אB,D,W [8%] NU
[l] ιωαννην **f**$^{35}$ A,Q [99%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**$^{4}$אB,D,W [1%] NU
[m] βαρθολομαιον **f**$^{35}$ A,Q [99%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**$^{4}$אB,D,W [1%] NU
[n] ματθαιον **f**$^{35}$ A,Q [99%] CP,HF,RP,TR,OC ¦ μαθθαιον **𝔓**$^{4}$אB,D [0.5%] NU ¦ μαθθεον W ¦ two other variants
[o] θωμαν **f**$^{35}$ A,B,Q,W [98%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**$^{4}$א(D) [2%] NU
[p] τον του **f**$^{35}$ A,D,Q [95%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{4}$אB,W [2%] NU ¦ 2 [3%]
[q] ζηλωτην **f**$^{35}$ A [96%] CP,HF,RP,TR,OC ¦ 1 και **𝔓**$^{4,75v}$אB,D,Q,W [4%] NU
[r] ισκαριωτην **f**$^{35}$ A,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ισκαριωθ **𝔓**$^{4,75}$אB [0.5%] NU ¦ σκαριωθ D ¦ four other variants
[s] και **f**$^{35}$ A,D,Q [99.5%] CP,HF,RP,TR,OC ¦ --- אB,W [0.5%] NU

## *A sermon on a level place*

**17** Καὶ καταβὰς μετ᾽ αὐτῶν ἔστη ἐπὶ τόπου[t] πεδινοῦ, καὶ ὄχλος[u] μαθητῶν αὐτοῦ,
καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς
παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων
αὐτῶν· **18** καὶ οἱ ὀχλούμενοι[v] ὑπὸ[w] πνευμάτων ἀκαθάρτων—καὶ[x] ἐθεραπεύοντο.
**19** Καὶ πᾶς ὁ ὄχλος ἐζήτει[y] ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽ αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο
πάντας.

### Blessings

**20** Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγεν·
«Μακάριοι οἱ πτωχοί,[z] ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. **21** Μακάριοι οἱ
πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε.
**22** Μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ
ὀνειδίσωσιν καὶ ἐκβάλωσιν τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ
Ἀνθρώπου. **23** Χάρητε[a] ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν
πολὺς ἐν τῷ οὐρανῷ· κατὰ ταῦτα[b] γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν.

### Woes

**24** »Πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. **25** Οὐαὶ
ὑμῖν οἱ ἐμπεπλησμένοι,[c] ὅτι πεινάσετε. Οὐαὶ ὑμῖν[d] οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ
κλαύσετε. **26** Οὐαὶ[e] ὅταν καλῶς εἴπωσιν ὑμᾶς[f] πάντες οἱ ἄνθρωποι,[g] κατὰ ταῦτα[h] γὰρ
ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.

### Instructions

**27** »Ἀλλά,[i] ὑμῖν λέγω τοῖς ἀκούουσιν· Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε
τοῖς μισοῦσιν ὑμᾶς· **28** εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς,[j] προσεύχεσθε ὑπὲρ[k] τῶν
ἐπηρεαζόντων ὑμᾶς. **29** Τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ
ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον, καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. **30** Παντὶ δὲ τῷ[l]

---

[t] τοπου *rell* ¦ του [15%] ¦ του 1 [1%]
[u] οχλος **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ 1 πολυς 𝔓$^{75}$ℵB,W [1%] NU
[v] οχλουμενοι **f**$^{35}$ D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ενοχλουμενοι 𝔓$^{75}$ℵA,B,T [1%] NU
[w] υπο **f**$^{35}$ [60%] CP,HF,RP,TR ¦ απο 𝔓$^{75}$ℵA,B,D,Q,T,W [40%] OC,NU
[x] και **f**$^{35}$ [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,B,D,Q,T,W [1.5%] NU
[y] εζητει **f**$^{35}$ A,D,Q [99%] CP,HF,RP,TR,OC ¦ εζητουν 𝔓$^{75}$ℵB,T,W [1%] NU
[z] πτωχοι *rell* ¦ 1 τω πνευματι Q [10%]
[a] χαρητε **f**$^{35}$ ℵA,B,D [95%] CP,HF,RP,OC,NU ¦ χαιρετε [5%] TR
[b] ταυτα **f**$^{35}$ ℵA [98.5%] CP,HF,RP,TR ¦ τα αυτα 𝔓$^{75}$B,D,Q,W [1.5%] OC,NU
[c] εμπεπλησμενοι **f**$^{35}$ A(D) [85%] CP,HF,RP,TR,OC ¦ 1 νυν 𝔓$^{75}$ℵB,Q,T(W) [15%] NU
[d] υμιν **f**$^{35}$ 𝔓$^{75}$A,D,Q [97%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [3%] NU
[e] ουαι **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,Q,T [96%] CP,HF,RP,OC,NU ¦ 1 υμιν (D)W [4%] TR
[f] καλως ειπωσιν υμας **f**$^{35}$ ℵA (22%) CP ¦ ~ 132 D,Q,T,W (76.1%) HF,RP,TR,OC ¦ ~ 312 𝔓$^{75}$B (0.2%) NU ¦ 12 (1.2%) ¦ long omissions (0.4%) ¦ two other variants (0.1%)
[g] παντες οι ανθρωποι **f**$^{35}$ 𝔓$^{75}$A,B,Q,T (38.3%) TR,OC,NU ¦ ~ 231 ℵ (0.2%) ¦ 23 D (60.5%) CP,HF,RP ¦ 13 W (0.6%) ¦ long omission (0.4%)
[h] ταυτα **f**$^{35}$ ℵA,T [94%] CP,HF,RP,TR ¦ τα αυτα 𝔓$^{75}$B,D,W [6%] OC,NU
[i] αλλα **f**$^{35}$ ℵA,B,D,W [73%] CP,OC ¦ αλλ [27%] HF,RP,TR,NU
[j] υμας **f**$^{35}$ ℵA,B,D [45%] NU ¦ υμιν 𝔓$^{75}$ [46%] CP,HF,RP,OC ¦ 1 και W [1%] ¦ υμιν και [8%] TR
[k] υπερ **f**$^{35}$ A,D [99%] CP,HF,RP,TR,OC ¦ περι 𝔓$^{75}$ℵB,W [1%] NU
[l] δε τω **f**$^{35}$ A,D [93%] CP,HF,RP,TR,OC ¦ 2 [6.5%] ¦ --- ℵB,W [0.5%] NU

αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. **31** Καὶ καθὼς θέλετε ἵνα
ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς[m] ποιεῖτε αὐτοῖς ὁμοίως. **32** Καὶ εἰ ἀγαπᾶτε τοὺς
ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστίν; Καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας
αὐτοὺς ἀγαπῶσιν. **33** Καὶ[n] ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν
χάρις ἐστίν; Καὶ γὰρ[o] οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσιν. **34** Καὶ ἐὰν δανείζητε[p] παρ᾽ ὧν
ἐλπίζετε ἀπολαβεῖν,[q] ποία ὑμῖν χάρις ἐστίν;[r] Καὶ γὰρ[s] ἁμαρτωλοὶ ἁμαρτωλοῖς[t]
δανείζουσιν, ἵνα ἀπολάβωσιν τὰ ἴσα.

### Be compassionate

**35** »Πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ ἀγαθοποιεῖτε, καὶ δανείζετε,[u] μηδὲν
ἀπελπίζοντες· καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ[v] Ὑψίστου· ὅτι αὐτὸς
χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. **36** Γίνεσθε οὖν[w] οἰκτίρμονες,
καθὼς καὶ[x] ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν.

### We get what we give

**37** »Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε.[y] Μὴ καταδικάζετε, καὶ οὐ μὴ
καταδικασθῆτε. Ἀπολύετε, καὶ ἀπολυθήσεσθε. **38** Δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον
καλόν—πεπιεσμένον καὶ[z] σεσαλευμένον καὶ[a] ὑπερεκχυνόμενον[b]—δώσουσιν εἰς τὸν
κόλπον ὑμῶν. Τῷ γὰρ αὐτῷ μέτρῳ ᾧ[c] μετρεῖτε ἀντιμετρηθήσεται ὑμῖν.»

**39** Εἶπεν δὲ[d] παραβολὴν αὐτοῖς· «Μήτι δύναται τυφλὸς τυφλὸν ὁδηγεῖν; Οὐχὶ
ἀμφότεροι εἰς βόθυνον πεσοῦνται;[e] **40** Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον
αὐτοῦ,[f] κατηρτισμένος δὲ πᾶς ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. **41** Τί δὲ βλέπεις τὸ
κάρφος τὸ[g] ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ
οὐ κατανοεῖς; **42** Ἢ πῶς[h] δύνασαι λέγειν τῷ ἀδελφῷ σου, ‹Ἀδελφέ, ἄφες ἐκβάλω τὸ
κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ σου,› αὐτὸς τὴν ἐν τῷ ὀφθαλμῷ σου δοκὸν οὐ βλέπων;

---

[m] και υμεις **f**$^{35}$ ℵA,D,W [98%] CP,HF,RP,TR,OC ¦ 2 [1.5%] ¦ --- B [0.5%] NU
[n] και **f**$^{35}$ A,D,W [99%] CP,HF,RP,TR,OC ¦ 1 γαρ 𝔓$^{75}$ℵB,NU ¦ long omission [0.7%]
[o] γαρ **f**$^{35}$ A,D [98%] CP,HF,RP,TR,OC ¦ --- ℵB,W [2%] NU
[p] δανειζητε **f**$^{35}$ [64%] CP,HF,RP,TR,OC ¦ δανειζετε [26%] ¦ δανιζετε A,D [9%] ¦ δανισητε B [0.2%] NU ¦ δανισηται ℵW ¦ four further variants
[q] απολαβειν **f**$^{35}$ A,D [99%] CP,HF,RP,TR,OC ¦ λαβειν 𝔓$^{75}$ℵB,W [1%] NU
[r] εστιν **f**$^{35}$ ℵA,D(W) [99.7%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{45v,75}$B [0.3%]
[s] γαρ **f**$^{35}$ A,D [73%] CP,HF,RP,OC ¦ 1 οι [25%] TR ¦ 1 και [1.5%] ¦ --- 𝔓$^{75}$ℵB,W [0.5%] NU
[t] αμαρτωλοις *rell* ¦ αμαρτωλους [12%]
[u] δανειζετε **f**$^{35}$ [90%] CP,HF,RP,TR,OC ¦ δανιζετε A,B,D,W [9%] NU ¦ δανιζεται ℵ [1%]
[v] υιοι **f**$^{35}$ ℵA,B,D,W [94%] CP,HF,RP,OC,NU ¦ 1 του [6%] TR
[w] ουν **f**$^{35}$ A [96%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,D,W [4%] NU
[x] και **f**$^{35}$ A,D [96.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- ℵB,W [3.5%]
[y] κριθητε **f**$^{35}$ A,C,D [93%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓$^{75}$ℵB,W [7%] NU
[z] και **f**$^{35}$ A,C [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1%] NU
[a] και **f**$^{35}$ A,C [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45}$ℵB,D,W [1.5%] NU
[b] υπερεκχυνομενον **f**$^{35}$ 𝔓$^{75}$ [96%] CP,HF,RP,TR,OC ¦ υπερεκχυννομενον ℵA,B,C,D,W [4%] NU
[c] τω γαρ αυτω μετρω ω **f**$^{35}$ A,C (91.4%) CP,HF,RP,TR,OC ¦ 1245 (5.9%) ¦ 1345 𝔓$^{45}$ (0.7%) ¦ 1235 (0.4%) ¦ 1234 (0.3%) ¦ ~ 524 ℵB,D,W (1.1%) NU ¦ four other variants (0.2%)
[d] δε **f**$^{35}$ 𝔓$^{45v}$A [95%] CP,HF,RP,TR,OC ¦ 1 και ℵB,C,D,W [5%] NU
[e] πεσουνται **f**$^{35}$ ℵA,C [95%] CP,HF,RP,TR,OC ¦ εμπεσουνται B(D,W) [5%] NU
[f] αυτου **f**$^{35}$ A,C [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D,W [5%] NU
[g] το *rell* ¦ τω [23%]
[h] η πως **f**$^{35}$ A,C,D,W [99.2%] CP,HF,RP,TR,OC ¦ 2 𝔓$^{75}$B,NU ¦ 2 δε ℵ [0.2%] ¦ και 2 [0.4%]

Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.[i]

A tree is known by its fruit

**43** »Οὐ γάρ ἐστιν δένδρον καλὸν ποιοῦν καρπὸν σαπρόν, οὐδὲ[j] δένδρον σαπρὸν ποιοῦν καρπὸν καλόν **44**—ἕκαστον γὰρ δένδρον ἐκ τοῦ ἰδίου καρποῦ γινώσκεται· οὐ γὰρ ἐξ ἀκανθῶν συλλέγουσιν σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσιν σταφυλήν.[k] **45** Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ[l] προφέρει τὸ ἀγαθόν, καὶ ὁ πονηρὸς ἄνθρωπος[m] ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ[n] προφέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ[o] περισσεύματος τῆς[p] καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

Two foundations

**46** »Τί δέ με καλεῖτε, ‹Κύριε, Κύριε,› καὶ οὐ ποιεῖτε ἃ λέγω; **47** Πᾶς ὁ ἐρχόμενος πρός με καὶ ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς—ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος· **48** ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς[q] ἔσκαψεν καὶ ἐβάθυνεν καὶ ἔθηκεν θεμέλιον ἐπὶ τὴν πέτραν. Πλημμύρας[r] δὲ γενομένης, προσέρρηξεν[s] ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἴσχυσεν σαλεῦσαι αὐτήν, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν.[t] **49** Ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι τὴν[u] οἰκίαν ἐπὶ τὴν γῆν χωρὶς θεμελίου, ᾗ προσέρρηξεν[v] ὁ ποταμός, καὶ εὐθέως[w] ἔπεσεν·[x] καὶ ἐγένετο τὸ[y] ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.»

## *The faith of a centurion*

**7:1** Ἐπεὶ δὲ[z] ἐπλήρωσεν πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν[a] εἰς Καπερναούμ.[b] **2** Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἔμελλεν[c]

---

[i] εκβαλειν το καρφος το εν τω οφθαλμω του αδελφου σου **f**$^{35}$ אA,C(D) [98%] CP,HF,RP,TR,OC ¦ ~ 2-10,1 $\mathfrak{P}^{75}$B,W [2%] NU

[j] ουδε **f**$^{35}$ A,C,D [97.5%] CP,HF,RP,TR,OC ¦ 1 παλιν $\mathfrak{P}^{75}$אB,W [2.5%] NU

[k] τρυγωσιν σταφυλην **f**$^{35}$ A [96%] CP,HF,RP,TR,OC ¦ ~ 21 $\mathfrak{P}^{75}$אB,C,D,W [2.5%] NU ¦ ~ σταφυλας 1 [1%] ¦ 2 [0.5%]

[l] αυτου **f**$^{35}$ A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- $\mathfrak{P}^{75}$אB,D [1%] NU

[m] ανθρωπος **f**$^{35}$ A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- $\mathfrak{P}^{75}$אB,D [1%] NU

[n] θησαυρου της καρδιας αυτου **f**$^{35}$ A,C [99%] CP,HF,RP,TR,OC ¦ --- $\mathfrak{P}^{75v}$אB,D,W [1%] NU

[o] του **f**$^{35}$ C [65%] CP,HF,RP,TR,OC ¦ --- אA,B,D,W [35%] NU

[p] της **f**$^{35}$ C [86%] CP,HF,RP,TR,OC ¦ --- אA,B,D,W [14%] NU

[q] ος *rell* ¦ 1 και [0.5%] OC

[r] πλημμυρας **f**$^{35}$ A,C [98%] CP,HF,RP,TR,OC ¦ πλημυρας D [1.5%] ¦ πλημυρης $\mathfrak{P}^{75}$W ¦ πλημμυρης אB [0.5%] NU

[s] προσερρηξεν **f**$^{35}$ $\mathfrak{P}^{75}$A,C [99%] CP,HF,RP,TR,OC ¦ προσερηξεν אB,D,W [1%] NU

[t] τεθεμελιωτο γαρ επι την πετραν **f**$^{35}$ A,C,D [98.5%] CP,HF,RP,TR,OC ¦ δια το καλως οικοδομησθαι αυτην אB,W [1.5%] NU

[u] την **f**$^{35}$ $\mathfrak{P}^{75}$ [30%] ¦ --- אA,B,C,D,W [70%] CP,HF,RP,TR,OC,NU

[v] προσερρηξεν **f**$^{35}$ $\mathfrak{P}^{75}$אA,C(W) [99%] CP,HF,RP,TR,OC ¦ προσερηξεν B [1%] NU ¦ συνερηξεν D

[w] ευθεως **f**$^{35}$ A,W [91%] CP,HF,RP,TR ¦ ευθυς $\mathfrak{P}^{45,75}$אB,C [9%] OC,NU ¦ --- D

[x] επεσεν **f**$^{35}$ A,C,W [96%] CP,HF,RP,TR,OC ¦ συνεπεσεν $\mathfrak{P}^{45,75}$אB,D [4%] NU

[y] το *rell* ¦ --- [16%]

[z] επει δε **f**$^{35}$ א [94%] CP,HF,RP,TR,OC ¦ επειδη A,B,C,W [3%] NU ¦ επειδη 2 [2.5%] ¦ οτε 2 [0.5%] ¦ D is wild

[a] εισηλθεν *rell* ¦ 1 ο ιησους [12%]

[b] καπερναουμ **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ καφαρναουμ $\mathfrak{P}^{75}$אB,C,D,W [1%] NU

[c] εμελλεν **f**$^{35}$ [60%] CP,HF,RP ¦ ημελλεν $\mathfrak{P}^{75}$אA,B,C,D,W [39.5%] TR,OC,NU ¦ two other variants [0.5%]

τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. **3** Ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ, ἀπέστειλεν πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων, ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. **4** Οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες[d] ὅτι ἄξιός ἐστιν ᾧ παρέξει[e] τοῦτο, **5** «Ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν.» **6** Ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς.

Ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας, ἔπεμψεν πρὸς αὐτὸν[f] ὁ ἑκατόνταρχος φίλους[g] λέγων αὐτῷ· «Κύριε, μὴ σκύλλου, οὐ γάρ εἰμι ἱκανὸς[h] ἵνα μου ὑπὸ τὴν στέγην[i] εἰσέλθῃς. **7** Διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρός σε ἐλθεῖν. Ἀλλ᾽[j] εἰπὲ λόγῳ καὶ ἰαθήσεται[k] ὁ παῖς μου· **8** καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας. Καὶ λέγω τούτῳ, ‹Πορεύθητι,› καὶ πορεύεται· καὶ ἄλλῳ, ‹Ἔρχου,› καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ‹Ποίησον τοῦτο,› καὶ ποιεῖ.»

**9** Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπεν, «Λέγω ὑμῖν, οὐδὲ[l] ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον.» **10** Καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον[m] εὗρον τὸν ἀσθενοῦντα[n] δοῦλον ὑγιαίνοντα.

### *A widow's son raised*

**11** Καὶ ἐγένετο ἐν τῇ[o] ἑξῆς, ἐπορεύετο[p,q] εἰς πόλιν καλουμένην Ναΐν,[r] καὶ συνεπορεύοντο αὐτῷ[s] οἱ μαθηταὶ αὐτοῦ ἱκανοί,[t] καὶ ὄχλος πολύς. **12** Ὡς δὲ ἤγγισεν τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδού, ἐξεκομίζετο τεθνηκώς, υἱὸς μονογενὴς[u] τῇ μητρὶ αὐτοῦ, καὶ αὐτὴ[v] χήρα· καὶ ὄχλος τῆς πόλεως ἱκανὸς[w] σὺν αὐτῇ. **13** Καὶ ἰδὼν αὐτὴν ὁ Κύριος ἐσπλαγχνίσθη ἐπ᾽ αὐτῇ[x] καὶ εἶπεν αὐτῇ, «Μὴ κλαῖε.» **14** Καὶ προσελθὼν ἥψατο τῆς σοροῦ, οἱ δὲ βαστάζοντες ἔστησαν. Καὶ εἶπεν, «Νεανίσκε, σοὶ λέγω, ἐγέρθητι.» **15** Καὶ ἀνεκάθισεν ὁ νεκρὸς καὶ ἤρξατο λαλεῖν. Καὶ ἔδωκεν αὐτὸν τῇ μητρὶ αὐτοῦ.

---

[d] λεγοντες *rell* ¦ 1 αυτω [16%]
[e] παρεξει **f**$^{35}$ [90%] CP,HF,RP,TR,OC ¦ παρεξη ℵA,B,C,D,W [5%] NU ¦ παρεξεις [5%]
[f] προς (επ A) αυτον **f**$^{35}$ (A)C,D(W) [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB [1%] NU
[g] ο εκατονταρχος φιλους **f**$^{35}$ 𝔓$^{45v}$A,D [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 ℵC [2%] ¦ ~ 31 εκατονταρχης 𝔓$^{75v}$B,W [0.5%] NU ¦ three other variants [1%]
[h] ειμι ικανος **f**$^{35}$ A,C,D [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 (μι ℵ) 𝔓$^{75v}$(ℵ)B,W [0.3%] NU
[i] μου υπο την στεγην **f**$^{35}$ ℵC,D,W [55%] CP,HF ¦ ~ 2341 𝔓$^{75v}$A,B [45%] RP,TR,OC,NU
[j] αλλ **f**$^{35}$ ℵD [90%] CP,HF,RP,OC ¦ αλλα 𝔓$^{75}$A,B(C)W [10%] TR,NU
[k] ιαθησεται **f**$^{35}$ ℵA,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ιαθητω 𝔓$^{75v}$B [0.3%] NU
[l] ουδε **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,C,W [55%] TR,OC,NU ¦ ουτε [45%] CP,HF,RP ¦ ουδεποτε D
[m] οι πεμφθεντες εις τον οικον **f**$^{35}$ A,C [87%] CP,HF,RP,TR,OC ¦ ~ 34512 𝔓$^{75}$ℵB,W [10%] NU ¦ ~ 3512 D ¦ two other variants [3%]
[n] ασθενουντα **f**$^{35}$ A,C(D) [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,W [1.5%] NU
[o] τη **f**$^{35}$ ℵC,D,W [50%] CP,TR ¦ τω 𝔓$^{75}$A,B [50%] HF,RP,OC,NU
[p] επορευετο **f**$^{35}$ A,C,D [98%] CP,HF,RP,TR,OC ¦ επορευθη 𝔓$^{75}$ℵB,W [1.5%] NU ¦ two other variants
[q] επορευετο *rell* ¦ 1 ο ιησους [10%]
[r] ναιν *rell* ¦ ναειν [20%] ¦ five further spellings [2%]
[s] αυτω **f**$^{35}$ 𝔓$^{75}$ℵB,C,D,W [85%] CP,HF,RP,TR,OC,NU ¦ --- A [15%]
[t] αυτου ικανοι **f**$^{35}$ A,C (98.4%) CP,HF,RP,TR,OC ¦ 1 𝔓$^{75}$ℵB,D,W (1%) NU ¦ 2 (0.5%)
[u] υιος μονογενης **f**$^{35}$ A,C,D [99.3%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75v}$ℵB,W [0.7%] NU
[v] αυτη **f**$^{35}$ A,W [89%] CP,HF,RP,TR ¦ 1 ην 𝔓$^{75}$ℵB,C [11%] OC,NU ¦ ουση D
[w] ικανος **f**$^{35}$ A,C [94%] CP,HF,RP,TR ¦ 1 ην 𝔓$^{75}$ℵB,W [6%] some TRs,OC,NU ¦ D is wild
[x] αυτη *rell* ¦ αυτην ℵ [20%]

**16** Ἔλαβεν δὲ φόβος πάντας[y] καὶ ἐδόξαζον τὸν Θεόν, λέγοντες ὅτι «Προφήτης
μέγας ἐγήγερται[z] ἐν ἡμῖν,» καὶ ὅτι «Ἐπεσκέψατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ.»[a] **17** Καὶ
ἐξῆλθεν ὁ λόγος οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ, καὶ ἐν[b] πάσῃ τῇ περιχώρῳ.

### *Messengers from John*

**18** Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ περὶ πάντων τούτων. **19** Καὶ
προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ, ὁ Ἰωάννης ἔπεμψεν πρὸς τὸν
Ἰησοῦν[c] λέγων, «Σὺ εἶ ὁ Ἐρχόμενος, ἢ ἄλλον[d] προσδοκῶμεν;» **20** Παραγενόμενοι δὲ
πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον·[e] «Ἰωάννης ὁ Βαπτιστὴς ἀπέσταλκεν[f] ἡμᾶς πρός σε
λέγων, ‹Σὺ εἶ ὁ Ἐρχόμενος, ἢ ἄλλον[g] προσδοκῶμεν;› » **21** Ἐν αὐτῇ δὲ[h] τῇ ὥρᾳ
ἐθεράπευσεν πολλοὺς ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς
πολλοῖς ἐχαρίσατο τὸ[i] βλέπειν. **22** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς[j] εἶπεν αὐτοῖς·
«Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε[k] καὶ ἠκούσατε· ὅτι[l] τυφλοὶ
ἀναβλέπουσιν,[m] χωλοὶ περιπατοῦσιν, λεπροὶ καθαρίζονται,[n] κωφοὶ ἀκούουσιν, νεκροὶ
ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται. **23** Καί, μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν
ἐμοί.»

### *Jesus praises John*

**24** Ἀπελθόντων δὲ τῶν ἀγγέλων[o] Ἰωάννου, ἤρξατο λέγειν τοῖς ὄχλοις[p] περὶ
Ἰωάννου· «Τί ἐξεληλύθατε[q] εἰς τὴν ἔρημον θεάσασθαι, κάλαμον ὑπὸ ἀνέμου
σαλευόμενον; **25** Ἀλλὰ τί ἐξεληλύθατε[r] ἰδεῖν, ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις
ἠμφιεσμένον; Ἰδού, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις
εἰσίν. **26** Ἀλλὰ τί ἐξεληλύθατε[s] ἰδεῖν, προφήτην; Ναί, λέγω ὑμῖν, καὶ περισσότερον
προφήτου. **27** Οὗτός[t] ἐστιν περὶ οὗ γέγραπται· ‹Ἰδού, ἐγὼ[u] ἀποστέλλω τὸν ἄγγελόν
μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου.› **28** Λέγω

---

[y] παντας **f**$^{35}$ 𝔓$^{75}$B,D [86%] CP,HF,RP,OC,NU ¦ απαντας ℵA,C,W [14%] TR
[z] εγηγερται **f**$^{35}$ W [98%] CP,HF,RP,TR,OC ¦ ηγερθη 𝔓$^{75}$ℵA,B,C [2%] NU ¦ εξηγερθη D
[a] αυτου *rell* ¦ 1 εις αγαθον [17%]
[b] εν **f**$^{35}$ A,D [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,W [2%] NU
[c] ιησουν **f**$^{35}$ ℵA,W [99%] CP,HF,RP,TR,OC ¦ κυριον B [1%] NU ¦ D is wild
[d] αλλον *rell* ¦ ετερον ℵB,W [8.5%] OC
[e] ειπον *rell* ¦ ειπαν ℵB,D [0.5%] NU
[f] απεσταλκεν **f**$^{35}$ A,D [92%] CP,HF,RP,TR,OC ¦ απεστειλεν 𝔓$^{75v}$ℵB,W [8%] NU
[g] αλλον *rell* ¦ ετερον ℵD,W [3%] OC
[h] αυτη δε **f**$^{35}$ A,D [94%] CP,HF,RP,TR,OC ¦ 2 [2%] ¦ εκεινη 𝔓$^{75v}$ℵB,W [4%] NU
[i] το **f**$^{35}$ W [55%] CP,HF,RP,TR,OC ¦ του [3%] ¦ --- 𝔓$^{75}$ℵA,B [42%] NU ¦ D is wild
[j] ο ιησους **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1%] NU
[k] ειδετε *rell* ¦ ιδετε [28%]
[l] οτι **f**$^{35}$ A(D) [95%] CP,HF,RP,TR ¦ --- 𝔓$^{75v}$ℵB,W [5%] OC,NU
[m] αναβλεπουσιν *rell* ¦ 1 και 𝔓$^{75}$W [8%] OC
[n] καθαριζονται **f**$^{35}$ A [84%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓$^{75}$ℵB,D,W [16%] NU
[o] αγγελων *rell* ¦ μαθητων [10%] OC
[p] τοις οχλοις **f**$^{35}$ ℵ(D) [78%] CP,HF,RP ¦ προς τους οχλους A,B,W [22%] TR,OC,NU ¦ προς του οχλου 𝔓$^{75}$
[q] εξεληλυθατε **f**$^{35}$ [88%] CP,HF,RP,TR,OC ¦ εξηλθατε 𝔓$^{75}$A,B,D,W [2.5%] NU ¦ εξηλθετε [9.5%] ¦ εξηλθαται ℵ
[r] εξεληλυθατε **f**$^{35}$ [85%] CP,HF,RP,TR,OC ¦ εξηλθατε 𝔓$^{75v}$A,B,D,W [4%] NU ¦ εξηλθετε [11%] ¦ εξηλθαται ℵ
[s] εξεληλυθατε **f**$^{35}$ A,W [92%] CP,HF,RP,TR,OC ¦ εξηλθατε 𝔓$^{75}$B,D [3%] NU ¦ εξηλθετε [5%] ¦ εξηλθαται ℵ
[t] ουτος *rell* ¦ 1 γαρ [20%]
[u] εγω **f**$^{35}$ A [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [1.5%] NU

γὰρ[v] ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης[w] Ἰωάννου τοῦ Βαπτιστοῦ[x] οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μείζων αὐτοῦ ἐστιν.»

**29** (Καὶ πᾶς ὁ λαὸς ἀκούσας, καὶ οἱ τελῶναι, ἐδικαίωσαν τὸν Θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου. **30** Οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ᾽ αὐτοῦ.)

### *Inconsistency of the Pharisees*

**31** «Τίνι[y] οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης, καὶ τίνι εἰσὶν ὅμοιοι; **32** Ὅμοιοί εἰσιν παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις καὶ προσφωνοῦσιν ἀλλήλοις καὶ λέγουσιν,[z] ‹Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν,[a] καὶ οὐκ ἐκλαύσατε.› **33** Ἐλήλυθεν γὰρ Ἰωάννης ὁ Βαπτιστὴς μήτε[b] ἄρτον ἐσθίων[c] μήτε οἶνον πίνων,[d] καὶ λέγετε, ‹Δαιμόνιον ἔχει.› **34** Ἐλήλυθεν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε, ‹Ἰδού, ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν[e] καὶ ἁμαρτωλῶν.› **35** Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων.»[f]

### *A lesson in forgiveness*

**36** Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ᾽ αὐτοῦ, καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν[g] τοῦ Φαρισαίου ἀνεκλίθη.[h] **37** Καὶ ἰδού, γυνὴ ἐν τῇ πόλει ἥτις ἦν[i] ἁμαρτωλός, καὶ[j] ἐπιγνοῦσα ὅτι ἀνάκειται[k] ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου, **38** καὶ στᾶσα παρὰ τοὺς πόδας αὐτοῦ ὀπίσω[l] κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσιν[m] καὶ ταῖς θριξὶν τῆς κεφαλῆς αὐτῆς ἐξέμασσεν· καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφεν τῷ μύρῳ.

**39** Ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτόν, εἶπεν ἐν ἑαυτῷ λέγων, «Οὗτος, εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ—ὅτι ἁμαρτωλός ἐστιν.» **40** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτόν, «Σίμων, ἔχω σοί τι εἰπεῖν.» Ὁ

---

[v] λεγω γαρ **f**$^{35}$ A [96%] CP,HF,RP,TR,OC ¦ 1 𝔓$^{75}$B [2%] NU ¦ αμην 1 ℵ [1%] ¦ 1 δε D,W [1%]
[w] προφητης **f**$^{35}$ A(D) [86%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,W [14%] NU
[x] του βαπτιστου **f**$^{35}$ A(D) [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,W [1.5%] NU
[y] τινι *rell* ¦ ειπεν δε ο κυριος 1 [0.5%] TR
[z] και λεγουσιν **f**$^{35}$ A [98%] CP,HF,RP,TR,OC ¦ α λεγει ℵB [0.5%] NU ¦ λεγοντες D [1%] ¦ λεγοντα W
[a] υμιν **f**$^{35}$ A [98%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [2%] NU
[b] μητε **f**$^{35}$ A,D [98.5%] CP,HF,RP,TR,OC ¦ μη ℵB,W [0.5%] NU ¦ μηποτε [1%]
[c] αρτον εσθιων **f**$^{35}$ A [97%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵW [1%] NU ¦ ~ εσθων 1 B ¦ 2 [2%] ¦ εσθων D
[d] οινον πινων **f**$^{35}$ (A) [97%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵ(B)W [1%] NU ¦ 2 (D) [2%]
[e] φιλος τελωνων **f**$^{35}$ ℵA,B,D,W [93%] CP,HF,RP,OC,NU ¦ ~ 21 [7%] TR
[f] των τεκνων αυτης παντων **f**$^{35}$ A [87%] CP,HF,RP,TR,OC ¦ ~ 4123 B,W [1.5%] NU ¦ ~ 41 εργων 3 ℵ ¦ 123 D [11%]
[g] την οικιαν **f**$^{35}$ A [96.5%] CP,HF,RP,TR,OC ¦ τον οικον ℵB,D,W [3.5%] NU
[h] ανεκλιθη **f**$^{35}$ A,W [98%] CP,HF,RP,TR,OC ¦ κατεκλιθη B,D [2%] NU ¦ κατεκειτο ℵ
[i] εν τη πολει ητις ην **f**$^{35}$ A [98%] CP,HF,RP,TR,OC ¦ ~ 45123 ℵ(B) [1%] NU ¦ 123 D ¦ ~ τις 5123 W [1%]
[j] και **f**$^{35}$ ℵA,B,W [55%] OC,NU ¦ --- (D) [45%] CP,HF,RP,TR
[k] ανακειται **f**$^{35}$ [95%] CP,HF,RP,TR,OC ¦ κατακειται ℵA,B(D)W [5%] NU
[l] παρα τους ποδας αυτου οπισω **f**$^{35}$ [81%] CP,HF,RP,TR ¦ ~ 51234 𝔓$^{82v}$ℵB,D,W [5%] OC,NU ¦ 123 του ιησου 5 A [14%] ¦ two other variants
[m] ηρξατο βρεχειν τους ποδας αυτου τοις δακρυσιν **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ ~ 6712345 ℵB,W [1%] NU ¦ three other variants D

δέ φησίν, «Διδάσκαλε, εἰπέ.»[n] **41** «Δύο χρεωφειλέται[o] ἦσαν δανειστῇ[p] τινι. Ὁ εἷς ὤφειλεν δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. **42** Μὴ ἐχόντων δὲ[q] αὐτῶν ἀποδοῦναι, ἀμφοτέροις ἐχαρίσατο. Τίς οὖν αὐτῶν, εἰπέ,[r] πλεῖον αὐτὸν ἀγαπήσει;»[s] **43** Ἀποκριθεὶς δὲ ὁ[t] Σίμων εἶπεν, «Ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο.» Ὁ δὲ εἶπεν αὐτῷ, «Ὀρθῶς ἔκρινας.»

**44** Καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· «Βλέπεις ταύτην τὴν γυναῖκα; Εἰσῆλθόν σου εἰς τὴν οἰκίαν· ὕδωρ ἐπὶ τοὺς πόδας μου[u] οὐκ ἔδωκας, αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέν μου τοὺς πόδας καὶ ταῖς θριξὶν τῆς κεφαλῆς[v] αὐτῆς ἐξέμαξεν. **45** Φίλημά μοι οὐκ ἔδωκας, αὕτη δὲ ἀφ' ἧς εἰσῆλθον[w] οὐ διέλιπεν[x] καταφιλοῦσά μου τοὺς πόδας. **46** Ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας, αὕτη δὲ μύρῳ ἤλειψέν μου τοὺς πόδας.[y] **47** Οὗ χάριν, λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ.»

**48** Εἶπεν δὲ αὐτῇ, «Ἀφέωνταί σου αἱ ἁμαρτίαι.» **49** Καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς, «Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν;» **50** Εἶπεν δὲ πρὸς τὴν γυναῖκα, «Ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην.»

## Jesus takes the offensive

### *Women provide for Jesus*

**8:1** Καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευεν κατὰ πόλιν καὶ κώμην κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ οἱ δώδεκα σὺν αὐτῷ· **2** καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ[z] πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν· Μαρία (ἡ καλουμένη Μαγδαληνή)[a] ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει· **3** καὶ Ἰωάννα γυνὴ Χουζᾶ, ἐπιτρόπου Ἡρῴδου· καὶ Σωσάννα,[b] καὶ ἕτεραι πολλαί—αἵτινες διηκόνουν αὐτῷ[c] ἀπὸ[d] τῶν ὑπαρχόντων αὐταῖς.

---

[n] φησιν διδασκαλε ειπε $\mathbf{f}^{35}$ [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 אB [1%] NU ¦ εφη 23 A(D) ¦ ~ 213 W

[o] χρεωφειλεται $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,TR,OC ¦ χρεοφειλεται [6%] NU ¦ χρεοφιλεται אA,B,W [4%] ¦ χρεοφιλετε D

[p] δανειστη $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,TR,OC ¦ δανιστη אA,B,D,W [10%] NU

[q] δε $\mathbf{f}^{35}$ אA,W [97%] CP,HF,RP,TR,OC ¦ --- B,D [3%] NU

[r] ειπε $\mathbf{f}^{35}$ [97.5%] CP,HF,RP,TR,OC ¦ --- אBD,W [2.5%] NU ¦ επι A

[s] πλειον αυτον αγαπησει $\mathbf{f}^{35}$ A [92%] CP,HF,RP,TR,OC ¦ ~ 132 $\mathfrak{P}^{75v}$אB(W) [1.5%] NU ¦ ~ 213 (D) ¦ 13 [6.5%]

[t] δε ο $\mathbf{f}^{35}$ A [95.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 (W) [1%] ¦ 1 א [3%] ¦ 2 D ¦ --- B [0.5%] NU

[u] επι τους ποδας μου $\mathbf{f}^{35}$ A [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 4123 א [0.3%] ¦ ~ μοι 123 [0.5%] ¦ ~ μοι 13 B,NU ¦ 13 μοι D ¦ υπο 3 μοι W

[v] της κεφαλης $\mathbf{f}^{35}$ [78%] CP,HF,RP,TR,OC ¦ --- אA,B,D,W [22%] NU

[w] εισηλθον *rell* ¦ εισηλθεν [7%] OC

[x] διελιπεν $\mathbf{f}^{35}$ B,D [66%] CP,HF,RP,TR,OC,NU ¦ διελειπεν אA,W [34%]

[y] μου τους ποδας $\mathbf{f}^{35}$ א [60%] CP,HF,RP,TR,OC ¦ ~ 231 A,B [40%] NU ¦ --- D,W

[z] απο *rell* ¦ 1 νοσων και μαστιγων και [3%] OC

[a] μαγδαληνη *rell* ¦ μαγδαλινη [18%] ¦ four further spellings

[b] σωσαννα $\mathbf{f}^{35}$ [35%] CP,HF ¦ σουσαννα אA,B,D,W [65%] RP,TR,OC,NU ¦ three other spellings

[c] αυτω $\mathbf{f}^{35}$ אA [50%] CP,TR,OC ¦ αυτοις B,D,W [50%] HF,RP,NU

[d] απο $\mathbf{f}^{35}$ [90%] CP,HF,RP,TR,OC ¦ εκ אA,B,D,W [10%] NU

## *Parable of the soils*

**4** Συνιόντος δὲ ὄχλου πολλοῦ, καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτόν,
εἶπεν διὰ παραβολῆς· **5** «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ·[e] καὶ ἐν
τῷ σπείρειν αὐτὸν ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη, καὶ τὰ πετεινὰ τοῦ
οὐρανοῦ κατέφαγεν αὐτό. **6** Καὶ ἕτερον ἔπεσεν[f] ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξηράνθη,
διὰ τὸ μὴ ἔχειν ἰκμάδα. **7** Καὶ ἕτερον ἔπεσεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι
αἱ ἄκανθαι ἀπέπνιξαν αὐτό. **8** Καὶ ἕτερον ἔπεσεν εἰς[g] τὴν γῆν τὴν ἀγαθήν, καὶ φυὲν
ἐποίησεν καρπὸν ἑκατονταπλασίονα.» Ταῦτα λέγων ἐφώνει, «Ὁ ἔχων ὦτα ἀκούειν,
ἀκουέτω.»

## *The purpose of parables*

**9** Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες,[h] «Τίς εἴη ἡ παραβολὴ αὕτη;»[i]
**10** Ὁ δὲ εἶπεν· «Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ
λοιποῖς ἐν παραβολαῖς, ἵνα ‹βλέποντες μὴ βλέπωσιν, καὶ ἀκούοντες μὴ συνιῶσιν.›

## *The parable of the soils explained*

**11** »Ἔστιν δὲ αὕτη ἡ παραβολή· Ὁ σπόρος ἐστὶν ὁ λόγος τοῦ Θεοῦ. **12** Οἱ δὲ παρὰ
τὴν ὁδόν εἰσιν οἱ ἀκούοντες·[j] εἶτα ἔρχεται ὁ διάβολος καὶ αἴρει τὸν λόγον ἀπὸ τῆς
καρδίας αὐτῶν, ἵνα μὴ πιστεύσαντες σωθῶσιν. **13** Οἱ δὲ ἐπὶ τῆς πέτρας οἵ, ὅταν
ἀκούσωσιν, μετὰ χαρᾶς δέχονται τὸν λόγον· καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἳ πρὸς
καιρὸν πιστεύουσιν καὶ ἐν καιρῷ πειρασμοῦ ἀφίστανται. **14** Τὸ δὲ εἰς τὰς ἀκάνθας
πεσόν·[k] οὗτοί εἰσιν οἱ ἀκούσαντες,[l] καὶ ὑπὸ μεριμνῶν καὶ πλούτου καὶ ἡδονῶν τοῦ
βίου πορευόμενοι συμπνίγονται, καὶ οὐ τελεσφοροῦσιν. **15** Τὸ δὲ ἐν τῇ καλῇ γῇ·
οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον, κατέχουσιν καὶ
καρποφοροῦσιν ἐν ὑπομονῇ.»

## *All will be exposed*

**16** Ταῦτα λέγων ἐφώνει· «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.[m] Οὐδεὶς δὲ λύχνον
ἅψας, καλύπτει αὐτὸν σκεύει ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ᾽ ἐπὶ λυχνίας[n]
ἐπιτίθησιν,[o] ἵνα οἱ εἰσπορευόμενοι βλέπωσιν τὸ φῶς. **17** Οὐ γάρ ἐστιν κρυπτὸν ὃ οὐ
φανερὸν γενήσεται, οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται[p] καὶ εἰς φανερὸν ἔλθῃ.

---

[e] αυτου **f**$^{35}$ ℵB,D,W [76%] HF,RP,TR,OC,NU ¦ εαυτου A [24%] CP

[f] επεσεν **f**$^{35}$ ℵA,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ κατεπεσεν 𝔓$^{75}$B [0.5%] NU

[g] εις **f**$^{35}$ 𝔓$^{75}$ℵA,B [90%] CP,HF,RP,OC,NU ¦ επι D,W [10%] TR

[h] λεγοντες **f**$^{35}$ A [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,W [1.5%] NU ¦ το D

[i] ειη η παραβολη αυτη **f**$^{35}$ A [98%] CP,HF,RP,TR,OC ¦ ~ 4123 𝔓$^{75}$ℵW [0.5%] NU ¦ ~ 413 B ¦ ει 234 [0.5%] ¦ ~ 1423 [1%]

[j] ακουοντες **f**$^{35}$ A,W [97.5%] CP,HF,RP,TR ¦ ακουσαντες 𝔓$^{75}$ℵB [2.5%] OC,NU ¦ ακολουθουντες D

[k] πεσον *rell* ¦ πεσων [22%] ¦ εμπεσον [4.5%] ¦ εμπεσων [1.5%]

[l] ακουσαντες *rell* ¦ ακουοντες [20%]

[m] ταυτα λεγων εφωνει ο εχων ωτα ακουειν ακουετω **f**$^{35}$ [55%] CP ¦ --- 𝔓$^{75}$ℵA,B,D,W [45%] HF,RP,TR,OC,NU

[n] λυχνιας *rell* ¦ την λυχνιαν ℵD [14%] ¦ λυχνιαν [5%]

[o] επιτιθησιν **f**$^{35}$ A,W [86%] CP,HF,RP,TR,OC ¦ τιθησιν 𝔓$^{75}$ℵB [14%] NU ¦ τιθι D

[p] γνωσθησεται **f**$^{35}$ A,W [98.5%] CP,HF,RP,TR,OC ¦ μη γνωσθη 𝔓$^{75}$ℵB(D) [1.5%] NU

**18** Βλέπετε οὖν πῶς ἀκούετε· Ὃς γὰρ ἐὰν[q] ἔχῃ,[r] δοθήσεται αὐτῷ· καὶ ὃς ἐὰν[s] μὴ ἔχῃ,[t]
καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ᾽ αὐτοῦ.»

### *Relationships redefined*

**19** Παρεγένοντο[u] δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἐδύναντο[v]
συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. **20** Καὶ ἀπηγγέλη[w] αὐτῷ λεγόντων,[x] «Ἡ μήτηρ σου καὶ
οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες.»[y] **21** Ὁ δὲ ἀποκριθεὶς εἶπεν πρὸς
αὐτούς, «Μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες
καὶ ποιοῦντες αὐτόν.»[z]

### *Jesus stills a storm*

**22** Καὶ ἐγένετο[a] ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἐνέβη[b] εἰς[c] πλοῖον καὶ οἱ μαθηταὶ
αὐτοῦ· καὶ εἶπεν πρὸς αὐτούς, «Διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης.» Καὶ ἀνήχθησαν.
**23** Πλεόντων δὲ αὐτῶν ἀφύπνωσεν. Καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην, καὶ
συνεπληροῦντο καὶ ἐκινδύνευον. **24** Καὶ προσελθόντες[d] διήγειραν αὐτὸν λέγοντες,
«Ἐπιστάτα, Ἐπιστάτα,[e] ἀπολλύμεθα.» Ὁ δὲ ἐγερθεὶς[f] ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῷ
κλύδωνι τοῦ ὕδατος—καὶ ἐπαύσαντο,[g] καὶ ἐγένετο γαλήνη.[h] **25** Εἶπεν δὲ αὐτοῖς, «Ποῦ
ἐστιν[i] ἡ πίστις ὑμῶν;» Φοβηθέντες δὲ ἐθαύμασαν, λέγοντες πρὸς ἀλλήλους· «Τίς ἄρα
οὗτός ἐστιν; ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ.»

### *Jesus handles demon infestation*

**26** Καὶ κατέπλευσαν[j] εἰς τὴν χώραν τῶν Γαδαρηνῶν,[k] ἥτις ἐστὶν ἀντιπέραν[l] τῆς
Γαλιλαίας. **27** Ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν, ὑπήντησεν αὐτῷ[m] ἀνήρ τις ἐκ τῆς

---

[q] ος γαρ εαν **f**$^{35}$ A [66%] CP,HF,RP,OC ¦ 12 αν D [34%] TR ¦ ~ 1 αν 2 ℵB [0.5%] NU ¦ 12 W ¦ οσον 2 𝔓$^{75}$
[r] εχη *rell* ¦ εχει [24%]
[s] εαν **f**$^{35}$ W [80%] CP,HF,RP,OC ¦ αν 𝔓$^{75}$ℵA,B,D [20%] TR,NU
[t] εχη *rell* ¦ εχει [21%]
[u] παρεγενοντο **f**$^{35}$ ℵA,W [99%] CP,HF,RP,TR,OC ¦ παρεγενετο 𝔓$^{75}$B,D [1%] NU
[v] εδυναντο **f**$^{35}$ [48%] CP ¦ ηδυναντο 𝔓$^{75}$ℵA,B,D,W [51%] HF,RP,TR,OC,NU ¦ four other variants [1%]
[w] και απηγγελη **f**$^{35}$ A [74%] CP,HF,RP,TR,OC ¦ 1 απηγγελλη [9%] ¦ 1 απηγγελλει [4%] ¦ 1 απηγγελει [9%] ¦ 1 απηγγελθη W ¦ ~ 2 δε ℵB,D [2.5%] NU ¦ απηγγελλη δε 𝔓$^{75}$ [0.5%] ¦ five other variants [1%]
[x] λεγοντων **f**$^{35}$ A [96%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$B,W [0.5%] NU ¦ οτι ℵD [2.5%] ¦ 1 οτι [1%]
[y] σε θελοντες **f**$^{35}$ ℵA,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$B,NU ¦ ζητουντες 1 D
[z] αυτον **f**$^{35}$ [78%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,B,D,W [22%] NU
[a] και εγενετο **f**$^{35}$ [80%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε 𝔓$^{75}$ℵA,B,D,W [20%] NU
[b] ενεβη *rell* ¦ ανεβη 𝔓$^{75}$ [21%] ¦ αναβηναι D
[c] εις *rell* ¦ 1 το W [11%]
[d] και προσελθοντες **f**$^{35}$ [32%] CP ¦ ~ 2 δε 𝔓$^{75v}$ℵA,B,D,W [68%] HF,RP,TR,OC,NU
[e] επιστατα *rell* ¦ --- W [10%] ¦ κυριε D
[f] εγερθεις **f**$^{35}$ A,D,W [97%] CP,HF,RP,TR,OC ¦ διεγερθεις 𝔓$^{75}$ℵB [3%] NU
[g] επαυσαντο *rell* ¦ επαυσατο ℵW [25%]
[h] γαληνη *rell* ¦ 1 μεγαλη [23%]
[i] εστιν **f**$^{35}$ D [93%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,B,W [7%] NU
[j] κατεπλευσαν *rell* ¦ κατεπλευσεν W [1%] OC ¦ καταπλευσαντες [1%] ¦ κατεπαυσαν ℵ ¦ two other variants
[k] γαδαρηνων **f**$^{35}$ A,W [90%] CP,HF,RP,TR,OC ¦ γερασηνων 𝔓$^{75}$B,D [0.3%] NU ¦ γεργεσηνων ℵ [2%] ¦ γαδαρινων [7%]
[l] αντιπεραν **f**$^{35}$ [33%] CP,HF,RP,TR ¦ αντιπερα 𝔓$^{75}$ℵA,B,D,W [60%] OC,NU ¦ περαν [7%]
[m] αυτω **f**$^{35}$ A,D [97%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,W [3%] NU

πόλεως, ὃς εἶχεν[n] δαιμόνια ἐκ χρόνων ἱκανῶν—καὶ[o] ἱμάτιον οὐκ ἐνεδιδύσκετο,[p] καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ᾽ ἐν τοῖς μνήμασιν. **28** Ἰδὼν δὲ τὸν Ἰησοῦν καὶ[q] ἀνακράξας, προσέπεσεν αὐτῷ, καὶ φωνῇ μεγάλῃ εἶπεν· «Τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, Υἱὲ τοῦ Θεοῦ τοῦ Ὑψίστου; Δέομαί σου, μή με βασανίσῃς.» **29** Παρήγγειλεν[r] γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου (πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν, καὶ ἐδεσμεῖτο[s] ἁλύσεσιν καὶ πέδαις φυλασσόμενος· καὶ διαρρήσσων[t] τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος[u] εἰς τὰς ἐρήμους). **30** Ἐπηρώτησεν δὲ αὐτὸν ὁ Ἰησοῦς λέγων,[v] «Τί σοί ἐστιν ὄνομα;»[w] Ὁ δὲ εἶπεν, «Λεγεών»[x] (ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν[y] εἰς αὐτόν).
**31** Καὶ παρεκάλει[z] αὐτὸν ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν Ἄβυσσον ἀπελθεῖν.

**32** Ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων ἱκανῶν βοσκομένων[a] ἐν τῷ ὄρει· καὶ παρεκάλουν[b] αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς εἰς ἐκείνους εἰσελθεῖν, καὶ ἐπέτρεψεν αὐτοῖς.
**33** Ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου εἰσῆλθον[c] εἰς τοὺς χοίρους—καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπεπνίγη.

**34** Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον[d] ἔφυγον καὶ[e] ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς. **35** Ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός, καὶ ἦλθον πρὸς τὸν Ἰησοῦν· καὶ εὗρον καθήμενον τὸν ἄνθρωπον ἀφ᾽ οὗ τὰ δαιμόνια ἐξεληλύθει,[f] ἱματισμένον καὶ σωφρονοῦντα, παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ· καὶ ἐφοβήθησαν. **36** Ἀπήγγειλαν δὲ αὐτοῖς καὶ[g] οἱ ἰδόντες πῶς ἐσώθη ὁ δαιμονισθείς. **37** Καὶ ἠρώτησαν[h] αὐτὸν ἅπαν τὸ πλῆθος τῆς περιχώρου τῶν Γαδαρηνῶν[i] ἀπελθεῖν ἀπ᾽ αὐτῶν, ὅτι φόβῳ μεγάλῳ συνείχοντο. Αὐτὸς δὲ ἐμβὰς εἰς τὸ[j] πλοῖον ὑπέστρεψεν.

---

[n] ος ειχεν **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ εχων **𝔓**[75]אB [1%] NU
[o] εκ χρονων ικανων και **f**[35] A,W (98.6%) CP,HF,RP,TR,OC ¦ 12 πολλων 4 (0.4%) ¦ ~ 4 χρονω ικανω **𝔓**[75]אB (0.7%) NU ¦ ~ 4 χρονω πολλω (0.2%) ¦ απο 23 ος D
[p] ιματιον ουκ ενεδιδυσκετο **f**[35] A(D)W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 ενεδυσατο 1 **𝔓**[75]אB [1%] NU
[q] και **f**[35] A [98%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB(D)W [2%] NU
[r] παρηγγειλεν **f**[35] **𝔓**[75]B [77%] HF,RP,TR,OC,NU ¦ παρηγγελλε אA,C,W [20%] CP ¦ παρηγγελεν [2.5%] ¦ ελεγεν D ¦ two other variants
[s] εδεσμειτο **f**[35] A,C(D)W [99%] CP,HF,RP,TR,OC ¦ εδεσμευετο **𝔓**[75v]אB [1%] NU
[t] διαρρησσων *rell* ¦ διαρησσων **𝔓**[75]B,C [12%]
[u] δαιμονος **f**[35] A,W [96%] CP,HF,RP,TR,OC ¦ δαιμονιου **𝔓**[75]אB,C,D [1%] NU ¦ δαιμονων [3%]
[v] λεγων **f**[35] A,C,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**[75]אB [1.5%] NU
[w] σοι εστιν ονομα **f**[35] A,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 132 **𝔓**[75v]אB,D [2%] NU ¦ ~ 31 C ¦ two other variants
[x] λεγεων **f**[35] **𝔓**[75]A,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ λεγιων אD [0.3%] NU ¦ λεγειων B
[y] δαιμονια πολλα εισηλθεν **f**[35] A,W [91.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 **𝔓**[75]אB [1%] NU ¦ ~ 213 [5%] ¦ 12 εισηλθον C [2.5%] ¦ 2 γαρ ησαν 1 D
[z] παρεκαλει **f**[35] A [86%] CP,HF,RP,TR,OC ¦ παρεκαλουν **𝔓**[75]אB,C(D) [14%] NU ¦ --- W
[a] βοσκομενων **f**[35] A,C,W [82%] CP,HF,RP,TR,OC ¦ βοσκομενη **𝔓**[75]אB,D [18%] NU
[b] παρεκαλουν **f**[35] אA(D)W [91.5%] CP,HF,RP,TR,OC ¦ παρεκαλεσαν **𝔓**[75]B,C [1.5%] NU ¦ παρεκαλει [7%]
[c] εισηλθον **f**[35] **𝔓**[75]אA,B,C [82%] CP,HF,RP,OC,NU ¦ εισηλθεν W [18%] TR ¦ ωρμησαν D
[d] γεγενημενον **f**[35] [82%] HF,RP,TR,OC ¦ γενομενον [3%] CP ¦ γεγονος **𝔓**[75]אA,B,C,D [12%] NU ¦ γεγονως W [3%]
[e] και **f**[35] **𝔓**[75]אA,B,C,W [99%] HF,RP,OC,NU ¦ 1 απελθοντες [1%] CP,TR
[f] εξεληλυθει **f**[35] A,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ εξηλθεν **𝔓**[75]אB [0.5%] NU ¦ D is wild
[g] και **f**[35] A,W [94%] CP,HF,RP,TR ¦ --- **𝔓**[75]אB,C,D [6%] OC,NU
[h] ηρωτησαν **f**[35] (D)W [76%] CP,HF,RP,TR,OC ¦ ηρωτησεν אA,B,C [23%] NU ¦ three other variants [1%]
[i] γαδαρηνων **f**[35] A,W [96%] CP,HF,RP,TR,OC ¦ γερασηνων **𝔓**[75]B,C,D,NU ¦ γεργεσηνων א [3.5%]
[j] το **f**[35] A,W [92%] CP,HF,RP,TR,OC ¦ --- אB,C(D) [8%] NU

**38** Ἐδέετο[k] δὲ αὐτοῦ ὁ ἀνὴρ ἀφ᾽ οὗ ἐξεληλύθει τὰ δαιμόνια εἶναι σὺν αὐτῷ.
Ἀπέλυσεν δὲ αὐτὸν ὁ Ἰησοῦς[l] λέγων, **39** «Ὑπόστρεφε εἰς τὸν οἶκόν σου καὶ διηγοῦ
ὅσα ἐποίησέν σοι ὁ Θεός.»[m] Καὶ ἀπῆλθεν καθ᾽ ὅλην τὴν πόλιν κηρύσσων ὅσα
ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

*A desperate father*

**40** Ἐγένετο δὲ ἐν[n] τῷ ὑποστρέψαι[o] τὸν Ἰησοῦν, ἀπεδέξατο αὐτὸν ὁ ὄχλος, ἦσαν
γὰρ πάντες προσδοκῶντες αὐτόν. **41** Καὶ ἰδού, ἦλθεν ἀνὴρ ᾧ ὄνομα Ἰάειρος,[p] καὶ
αὐτὸς[q] ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ[r] Ἰησοῦ
παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, **42** ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ,
ὡς ἐτῶν δώδεκα, καὶ αὕτη[s] ἀπέθνησκεν.

*A desperate woman*

Ἐν δὲ τῷ ὑπάγειν αὐτόν, οἱ ὄχλοι συνέπνιγον αὐτόν. **43** Καὶ γυνή—οὖσα ἐν ῥύσει
αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον,[t] οὐκ ἴσχυσεν
ὑπ᾽[u] οὐδενὸς θεραπευθῆναι—**44** προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ
ἱματίου αὐτοῦ· καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. **45** Καὶ εἶπεν ὁ
Ἰησοῦς, «Τίς ὁ ἁψάμενός μου;» Ἀρνουμένων δὲ πάντων, εἶπεν ὁ Πέτρος καὶ οἱ μετ᾽
αὐτοῦ·[v] «Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβουσιν, καὶ λέγεις, ‹Τίς ὁ
ἁψάμενός μου;› »[w] **46** Ὁ δὲ Ἰησοῦς εἶπεν, «Ἥψατό μού τις, ἐγὼ γὰρ ἔγνων δύναμιν
ἐξελθοῦσαν[x] ἀπ᾽ ἐμοῦ.» **47** Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθεν, τρέμουσα ἦλθεν καὶ
προσπεσοῦσα αὐτῷ, δι᾽ ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν αὐτῷ[y] ἐνώπιον παντὸς τοῦ
λαοῦ, καὶ ὡς ἰάθη παραχρῆμα. **48** Ὁ δὲ[z] εἶπεν αὐτῇ· «Θάρσει[a] θύγατερ,[b] ἡ πίστις σου
σέσωκέν σε. Πορεύου εἰς εἰρήνην.»

---

[k] εδεετο **f**35 ℵC [98%] CP,HF,RP,TR,OC ¦ εδειτο B [1%] NU ¦ εδεειτο A [1%] ¦ εδετο 𝔓75v ¦ --- (W) ¦ ηρωτα D

[l] ο ιησους **f**35 A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1.5%] NU

[m] εποιησεν σοι ο θεος **f**35 A [97%] CP,HF,RP,TR,OC ¦ ~ 2134 𝔓75ℵB,W [3%] NU ¦ ~ 2341 D ¦ 23 κυριος πεποιηκεν C

[n] εγενετο δε εν **f**35 ℵA,C,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 32 𝔓75B [1.5%] NU

[o] υποστρεψαι **f**35 A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ υποστρεφειν 𝔓75ℵB [1%] NU ¦ three other variants

[p] ιαειρος **f**35 𝔓75vℵA,B,W [93%] CP,HF,RP,TR,OC ¦ ιαιρος [2%] NU ¦ ιαηρος [4%] ¦ seven further spellings [1%] ¦ --- C(D)

[q] αυτος **f**35 ℵA,W [95%] CP,HF,RP,TR,OC ¦ ουτος 𝔓75B,D [5%] NU

[r] του **f**35 A,C,D,W [98.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- ℵB [1.5%]

[s] αὕτη **f**35 CP,HF,RP,TR,OC ¦ αὐτη NU ¦ --- (D)

[t] ιατροις (εις εατρους TR) προσαναλωσασα ολον τον βιον **f**35 (ℵ)A(C)W [99.7%] CP,HF,RP(TR)OC[NU] ¦ --- 𝔓75B(D)

[u] ὑπ **f**35 ℵ(C)W [99.7%] CP,HF,RP,TR,OC ¦ απ 𝔓75A,B [0.3%] NU ¦ --- (D)

[v] και οι μετ αυτου **f**35 [86%] CP,HF,RP,TR ¦ 12 συν αυτω ℵA,C,D,W [9%] OC ¦ --- 𝔓75B [5%] NU

[w] και λεγεις τις (τι C) ο αψαμενος μου **f**35 A,(C)W [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75ℵB [1.5%] NU ¦ 1236 ηψατο D [0.5%]

[x] εξελθουσαν **f**35 A,C,D,W [99.3%] CP,HF,RP,TR,OC ¦ εξεληλυθυιαν 𝔓75ℵB [0.7%] NU

[y] αυτω **f**35 C [93%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75ℵA,B,D,W [7%] NU

[z] δε *rell* ¦ 1 ιησους C [20%]

[a] θαρσει **f**35 A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75ℵ(B)D [1.5%] NU

[b] θυγατερ **f**35 ℵA,C,D [98.5%] CP,HF,RP,TR,OC ¦ θυγατηρ B,W [1.5%] NU

*Jesus raises a dead girl*

**49** Ἔτι αὐτοῦ λαλοῦντος, ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου, λέγων αὐτῷ[c] ὅτι «Τέθνηκεν ἡ θυγάτηρ σου· μὴ[d] σκύλλε τὸν διδάσκαλον.» **50** Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ λέγων,[e] «Μὴ φοβοῦ· μόνον πίστευε[f] καὶ σωθήσεται.» **51** Ἐλθὼν[g] δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα[h] εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον,[i] καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. **52** Ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν· ὁ δὲ εἶπεν, «Μὴ κλαίετε· οὐκ[j] ἀπέθανεν, ἀλλὰ καθεύδει.» **53** Καὶ κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. **54** Αὐτὸς δὲ ἐκβαλὼν ἔξω πάντας, καὶ[k] κρατήσας τῆς χειρὸς αὐτῆς, ἐφώνησεν λέγων, «Ἡ παῖς, ἐγείρου.»[l] **55** Καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα· καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. **56** Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

*Jesus sends out the Twelve*

**9:1** Συγκαλεσάμενος δὲ τοὺς δώδεκα[m] ἔδωκεν αὐτοῖς δύναμιν καὶ ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια, καὶ νόσους θεραπεύειν· **2** καὶ ἀπέστειλεν αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ Θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας.[n] **3** Καὶ εἶπεν πρὸς αὐτούς· «Μηδὲν αἴρετε εἰς τὴν ὁδόν—μήτε ῥάβδους[o] μήτε πήραν μήτε ἄρτον μήτε ἀργύριον, μήτε ἀνὰ[p] δύο χιτῶνας ἔχειν. **4** Καὶ εἰς ἣν[q] οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε, καὶ ἐκεῖθεν ἐξέρχεσθε. **5** Καὶ ὅσοι ἐὰν[r] μὴ δέξωνται[s] ὑμᾶς, ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης, καὶ[t] τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε[u] εἰς μαρτύριον ἐπ᾽ αὐτούς.» **6** Ἐξερχόμενοι δὲ διήρχοντο κατὰ τὰς κώμας, εὐαγγελιζόμενοι καὶ θεραπεύοντες πανταχοῦ.

---

[c] αυτω **f**³⁵ A,C,D,W [97%] CP,HF,RP,TR,OC ¦ --- 𝔓⁷⁵ᵛℵB [3%] NU

[d] μη **f**³⁵ A,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ μηκετι 𝔓⁷⁵ℵB,D [0.5%] NU

[e] λεγων **f**³⁵ A,C,D,W [91%] CP,HF,RP,TR,OC ¦ --- 𝔓⁷⁵ℵB [9%] NU

[f] πιστευε **f**³⁵ ℵA,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ πιστευσον B [0.3%] NU

[g] ελθων **f**³⁵ ℵA,B,C,W [98%] HF,RP,OC,NU ¦ εισελθων D [2%] CP,TR

[h] ουκ αφηκεν εισελθειν ουδενα **f**³⁵ A,W [94.5%] CP,HF,RP,TR,OC ¦ 1234 συν αυτω [2%] ¦ 123 τινα συν αυτω B,C [1%] NU ¦ 123 συν αυτω τινα D [0.5%] ¦ ~ 42 συνεισελθειν αυτω ℵ ¦ six other variants [2%]

[i] ιωαννην και ιακωβον **f**³⁵ (𝔓⁷⁵)(B)C(D,W) [82%] CP,HF,RP,OC,NU ¦ ~ 321 ℵA [18%] TR

[j] ουκ **f**³⁵ A (88.6%) CP,HF,RP,TR,OC ¦ ου γαρ ℵB,C,D,W (11.3%) NU ¦ ουδε γαρ (0.1%)

[k] εκβαλων εξω παντας και **f**³⁵ [78%] CP,HF,RP,TR,OC ¦ 134 C [1%] ¦ ~ 1324 A,W [19%] ¦ --- 𝔓⁷⁵ℵB,D [1.5%] NU ¦ one other reading

[l] εγειρου **f**³⁵ A,W [97.5%] CP,HF,RP,TR,OC ¦ εγειρε ℵB,C,D [1.5%] NU ¦ εγειραι [1%]

[m] δωδεκα **f**³⁵ 𝔓⁷⁵A,B,D,W [74%] HF,RP,NU ¦ 1 μαθητας αυτου [15%] CP,TR,OC ¦ 1 αποστολους ℵC [11%]

[n] τους ασθενουντας **f**³⁵ C,W (97.6%) CP,HF,RP,TR,OC ¦ 1 ασθενεις ℵA,D (1.3%) [NU] ¦ παντας 12 (0.7%) ¦ four other readings (0.2%) ¦ --- B (0.1%)

[o] ραβδους **f**³⁵ A [85%] CP,HF,RP,TR,OC ¦ ραβδον ℵB,C,D,W [15%] NU

[p] ανα **f**³⁵ A,D,W (98.9%) CP,HF,RP,TR,OC[NU] ¦ --- ℵB,C (1%) ¦ long omission (0.1%)

[q] ην **f**³⁵ [15%] ¦ 1 αν ℵA,B,C,D,W [85%] CP,HF,RP,TR,OC,NU

[r] εαν **f**³⁵ 𝔓⁷⁵C [70%] CP,HF,RP,OC ¦ αν ℵA,B,D,W [30%] TR,NU

[s] δεξωνται **f**³⁵ D [66%] CP,HF,RP,TR,OC ¦ δεξονται [20%] ¦ δεχωνται ℵA,B,C,W [15%] NU ¦ δεχονται [1%]

[t] και **f**³⁵ A [97.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓⁷⁵ℵB,C,D,W [2.5%] NU

[u] αποτιναξατε **f**³⁵ A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ αποτινασσετε B [1%] NU ¦ αποτινασσεται ℵ [0.5%] ¦ εκτειναξατε (D)

### *Herod is troubled*

**7** Ἤκουσεν δὲ Ἡρῴδης ὁ τετράρχης[v] τὰ γινόμενα[w] ὑπ᾽ αὐτοῦ[x] πάντα· καὶ
διηπόρει, διὰ τὸ λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης ἐγήγερται[y] ἐκ[z] νεκρῶν, **8** ὑπό τινων
δὲ ὅτι Ἠλίας ἐφάνη, ἄλλων δὲ ὅτι προφήτης εἷς[a] τῶν ἀρχαίων ἀνέστη. **9** Καὶ εἶπεν[b]
Ἡρῴδης,[c] «Ἰωάννην ἐγὼ ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ[d] ἀκούω
τοιαῦτα;» Καὶ ἐζήτει ἰδεῖν αὐτόν.

### *Jesus feeds about 5,000 men*

**10** Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαντο αὐτῷ ὅσα ἐποίησαν. Καὶ
παραλαβὼν αὐτοὺς ὑπεχώρησεν κατ᾽ ἰδίαν εἰς τόπον ἔρημον πόλεως καλουμένης[e]
Βηθσαϊδά.[f] **11** Οἱ δὲ ὄχλοι, γνόντες, ἠκολούθησαν αὐτῷ. Καὶ δεξάμενος[g] αὐτοὺς
ἐλάλει αὐτοῖς[h] περὶ τῆς βασιλείας τοῦ Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰᾶτο.[i]

**12** Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν, προσελθόντες δὲ οἱ δώδεκα εἶπον[j] αὐτῷ,
«Ἀπόλυσον τὸν ὄχλον, ἵνα ἀπελθόντες[k] εἰς τὰς κύκλῳ κώμας καὶ τοὺς[l] ἀγρούς,
καταλύσωσιν καὶ εὕρωσιν ἐπισιτισμόν· ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ ἐσμέν.» **13** Εἶπεν δὲ
πρὸς αὐτούς, «Δότε αὐτοῖς ὑμεῖς φαγεῖν.» Οἱ δὲ εἶπον,[m] «Οὐκ εἰσὶν ἡμῖν πλεῖον ἢ
πέντε ἄρτοι[n] καὶ ἰχθύες δύο[o]—εἰ μήτι πορευθέντες ἡμεῖς ἀγοράσομεν[p] εἰς πάντα τὸν
λαὸν τοῦτον βρώματα» **14** (ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντακισχίλιοι). Εἶπεν δὲ πρὸς τοὺς
μαθητὰς αὐτοῦ, «Κατακλίνατε αὐτοὺς κλισίας[q] ἀνὰ πεντήκοντα.» **15** Καὶ ἐποίησαν
οὕτως, καὶ ἀνέκλιναν[r] ἅπαντας. **16** Λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας,
ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησεν αὐτοὺς καὶ κατέκλασεν, καὶ ἐδίδου τοῖς

---

[v] ο τετραρχης **f**$^{35}$ 𝔓$^{75}$A,B,D,W [99.8%] CP,HF,RP,TR,OC ¦ 1 τετρααρχης C,NU ¦ --- א
[w] γινομενα *rell* ¦ γενομενα A [14%]
[x] ὑπ αυτου **f**$^{35}$ A,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,C(D) [1.5%] NU
[y] εγηγερται **f**$^{35}$ A,N,W [96%] CP,HF,RP,TR,OC ¦ ηγερθη 𝔓$^{75}$אB,C [4%] NU ¦ ανεστη (D)
[z] εκ **f**$^{35}$ 𝔓$^{75}$אA,B,C(D)N,W [95.5%] HF,RP,TR,NU ¦ 1 των [2.5%] OC ¦ απο των [2%] CP
[a] εις **f**$^{35}$ A,N,W [92%] CP,HF,RP,TR ¦ τις אB,C [7%] OC,NU ¦ --- D [1%]
[b] και ειπεν **f**$^{35}$ A,N,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε 𝔓$^{75}$אB,C,D [4%] NU
[c] ηρωδης **f**$^{35}$ 𝔓$^{75}$אA,C,D,W [95%] CP,HF,RP,NU ¦ ο 1 B,N [5%] TR,OC
[d] εγω **f**$^{35}$ A,D,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,C [5%] NU
[e] τοπον ερημον πολεως καλουμενης **f**$^{35}$ C,N,W [94%] CP,HF,RP,TR,OC ¦ ~ 2134 A [4%] ¦ 134 [0.5%] ¦ 12 א [0.5%] ¦ πολιν καλουμενην 𝔓$^{75}$B [0.5%] NU ¦ κωμην λεγομενην D ¦ three other variants
[f] βηθσαιδα **f**$^{35}$ B,C [46%] CP,TR,OC,NU ¦ βηθσαιδαν A,W [52%] HF,RP ¦ βηδσαιδα 𝔓$^{75}$D,N [0.5%] ¦ five further spellings [1%] ¦ --- א
[g] δεξαμενος **f**$^{35}$ A,C,N(W) [93%] CP,HF,RP,TR,OC ¦ αποδεξαμενος 𝔓$^{75}$אB,D [7%] NU
[h] αυτοις *rell* ¦ 1 τα N [19%]
[i] ιατο *rell* ¦ ιασατο C [6%] OC
[j] ειπον *rell* ¦ ειπαν NU
[k] απελθοντες **f**$^{35}$ N,W [95%] CP,HF,RP,TR ¦ πορευθεντες 𝔓$^{75}$אA,B,C,D [5%] OC,NU
[l] τους **f**$^{35}$ A,C,D,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB [5%] NU
[m] ειπον *rell* ¦ ειπαν אB,C,D [1%] NU
[n] πεντε αρτοι **f**$^{35}$ A,D,N [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 אB [0.3%] NU ¦ επτα 2 C ¦ 1 αρτων W
[o] ιχθυες δυο **f**$^{35}$ אA,B,C,W [94%] CP,HF,RP,OC,NU ¦ ~ 21 D,N [6%] TR
[p] αγορασομεν **f**$^{35}$ [30%] CP,OC ¦ αγορασωμεν אA,B,C,D,N,W [70%] HF,RP,TR,NU
[q] κλισιας **f**$^{35}$ A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ 1 ωσει אB,C,D [1.5%] [NU]
[r] ανεκλιναν **f**$^{35}$ (A)C,N(W) [97.5%] CP,HF,RP,TR,OC ¦ κατεκλιναν א(B) [2.5%] NU ¦ --- D

μαθηταῖς παρατιθέναι[s] τῷ ὄχλῳ. **17** Καὶ ἔφαγον καὶ ἐχορτάσθησαν πάντες, καὶ ἤρθη
τὸ περισσεῦσαν αὐτοῖς κλασμάτων κόφινοι δώδεκα.

## Jesus ministers on the basis of His impending death

*"You are the Christ"*

**9:18** Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον κατὰ μόνας, συνῆσαν αὐτῷ οἱ
μαθηταί,[t] καὶ ἐπηρώτησεν αὐτοὺς λέγων, «Τίνα με λέγουσιν οἱ ὄχλοι εἶναι;» **19** Οἱ δὲ
ἀποκριθέντες εἶπον,[u] «Ἰωάννην τὸν Βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ ὅτι
προφήτης τις τῶν ἀρχαίων ἀνέστη.» **20** Εἶπεν δὲ αὐτοῖς, «Ὑμεῖς δέ, τίνα με λέγετε
εἶναι;» Ἀποκριθεὶς δὲ Πέτρος[v] εἶπεν, «Τὸν Χριστὸν τοῦ Θεοῦ.» **21** Ὁ δὲ ἐπιτιμήσας
αὐτοῖς παρήγγειλεν μηδενὶ εἰπεῖν[w] τοῦτο, **22** εἰπὼν ὅτι «Δεῖ τὸν Υἱὸν τοῦ Ἀνθρώπου
πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ
γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.»[x]

*To gain is to lose, to lose is to gain*

**23** Ἔλεγεν δὲ πρὸς πάντας· «Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν,[y] ἀπαρνησάσθω[z]
ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ,[a] καὶ ἀκολουθείτω μοι. **24** Ὃς γὰρ ἐὰν[b] θέλῃ[c]
τὴν ψυχὴν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν, ὃς δ᾽ ἂν ἀπολέσῃ[d] τὴν ψυχὴν αὐτοῦ ἕνεκεν
ἐμοῦ, οὗτος σώσει αὐτήν. **25** Τί γὰρ ὠφελεῖται ἄνθρωπος κερδήσας τὸν κόσμον ὅλον,
ἑαυτὸν δὲ ἀπολέσας ἢ ζημιωθείς; **26** Ὃς γὰρ ἂν[e] ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς
λόγους, τοῦτον ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐπαισχυνθήσεται, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ
καὶ τοῦ Πατρὸς καὶ τῶν ἁγίων ἀγγέλων. **27** Λέγω δὲ ὑμῖν ἀληθῶς·[f] εἰσίν τινες τῶν
ὧδε[g] ἑστώτων[h] οἳ[i] οὐ μὴ γεύσωνται[j] θανάτου ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ Θεοῦ.»

*Peter, John and James see the "Kingdom"*

**28** Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτώ, καὶ[k] παραλαβὼν[l]
Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. **29** Καὶ ἐγένετο
ἐν τῷ προσεύχεσθαι αὐτόν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς

---

[s] παρατιθεναι **f**35 A,D,W [94%] CP,HF,RP,TR ¦ παραθειναι 𝔓75ℵB,C,N [3%] OC,NU ¦ παραθηναι [3%]
[t] μαθηται *rell* ¦ 1 αυτου N,W [13%]
[u] ειπον *rell* ¦ ειπαν 𝔓75ℵB,D [0.3%] NU
[v] αποκριθεις δε πετρος **f**35 W [71%] CP ¦ 12 ο 3 A,D [27%] HF,RP,TR,OC ¦ ~ 321 𝔓75ℵB,C [1%] NU ¦ 12 σιμων 3 N ¦ six further variants [1%]
[w] ειπειν **f**35 [77%] CP,HF,RP,TR ¦ λεγειν (𝔓75)ℵA,B,C,D,W [23%] OC,NU
[x] εγερθηναι **f**35 𝔓75ℵB,W [85%] CP,HF,TR,OC,NU ¦ αναστηναι A,C,D [15%] RP
[y] ελθειν **f**35 [89%] CP,HF,RP,TR ¦ ερχεσθαι 𝔓75ℵA,B,C,W [11%] OC,NU ¦ ερχεσθε D
[z] απαρνησασθω **f**35 𝔓75B,C,W [95.5%] CP,HF,RP,TR,OC ¦ αρνησασθω ℵA,D [4.5%] NU
[a] αυτου **f**35 C(D) [87%] CP,HF,RP ¦ 1 καθ ημεραν 𝔓75ℵA,B,W [13%] TR,OC,NU
[b] εαν **f**35 ℵC [75%] CP,HF,RP ¦ αν A,B,D,W [25%] TR,OC,NU
[c] θελη *rell* ¦ θελει [19%]
[d] απολεση *rell* ¦ απολεσει W [18%]
[e] αν *rell* ¦ εαν C [12%] OC
[f] αληθως *rell* ¦ 1 οτι 𝔓45 [19%]
[g] ωδε **f**35 A,C,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ αυτου 𝔓75ℵB [0.5%] NU
[h] εστωτων **f**35 A,C,D,W [80%] CP,HF,RP ¦ εστηκοτων ℵB [20%] TR,OC,NU
[i] οι *rell* ¦ οιτινες A [13%]
[j] γευσωνται **f**35 𝔓45ℵA,B,C,D,W [60%] HF,RP,OC,NU ¦ γευσονται [40%] CP,TR
[k] και **f**35 A,C,D,W [97%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓45,75vℵB [3%]
[l] παραλαβων **f**35 𝔓45,75ℵA,B,C,D,N,W [95%] CP,HF,RP,NU ¦ 1 τον [5%] TR,OC

αὐτοῦ λευκὸς ἐξαστράπτων. **30** Καὶ ἰδού, ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς[m] καὶ Ἠλίας· **31** οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλεν[n] πληροῦν ἐν Ἱερουσαλήμ.

**32** Ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. **33** Καὶ ἐγένετο, ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ᾽ αὐτοῦ, εἶπεν ὁ[o] Πέτρος πρὸς τὸν Ἰησοῦν· «Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι» καὶ «Ποιήσωμεν σκηνὰς τρεῖς· μίαν σοί, καὶ μίαν Μωσεῖ,[p] καὶ μίαν Ἠλίᾳ»—μὴ εἰδὼς ὃ λέγει. **34** Ταῦτα δὲ αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν[q] αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν[r] εἰς τὴν νεφέλην. **35** Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα· «Οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἀγαπητός.[s] Αὐτοῦ ἀκούετε.» **36** Καὶ ἐν τῷ γενέσθαι τὴν φωνήν, εὑρέθη ὁ[t] Ἰησοῦς μόνος. (Καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν.)[u]

### *A violent demon*

**37** Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ,[v] κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, συνήντησεν αὐτῷ ὄχλος πολύς. **38** Καὶ ἰδού, ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησεν[w] λέγων· «Διδάσκαλε, δέομαί σου, ἐπίβλεψον[x] ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής ἐστίν μοι.[y] **39** Καὶ ἰδού, πνεῦμα λαμβάνει αὐτὸν καὶ ἐξαίφνης κράζει, καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ᾽ αὐτοῦ, συντρῖβον αὐτόν. **40** Καὶ ἐδεήθην τῶν μαθητῶν σου ἵνα ἐκβάλωσιν[z] αὐτό, καὶ οὐκ ἠδυνήθησαν.» **41** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· «Ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς καὶ[a] ἀνέξομαι ὑμῶν; Προσάγαγε τὸν υἱόν σου ὧδε.»[b] **42** Ἔτι δὲ προσερχομένου αὐτοῦ ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ συνεσπάραξεν. Ἐπετίμησεν δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ καὶ ἰάσατο τὸν παῖδα καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ. **43** Ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ Θεοῦ.

---

[m] μωσης **f**$^{35}$ 𝔓$^{45}$A [75%] CP,HF,RP,TR ¦ μωυσης ℵB,C,D,N,W [25%] OC,NU

[n] εμελλεν **f**$^{35}$ B [97.5%] CP,HF,RP,TR,OC ¦ ημελλεν 𝔓$^{75}$ℵA,C,N,W [2%] NU ¦ εμελλον 𝔓$^{45}$ ¦ μελλει D ¦ two other variants

[o] ο **f**$^{35}$ 𝔓$^{45,75}$ℵB,C,D,N [40%] CP,TR,OC,NU ¦ --- A,W [60%] HF,RP

[p] μιαν μωσει **f**$^{35}$ A,C [66%] CP,HF ¦ 1 μωση 𝔓$^{45}$ [21%] RP ¦ 1 μωυσει B,D,N,W [6%] OC,NU ¦ 1 μωυση [4%] ¦ ~ 21 ℵ [2%] TR ¦ ~ μωση 1 [1%] ¦ one other variant

[q] επεσκιασεν **f**$^{35}$ 𝔓$^{45}$A,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ επεσκιαζεν 𝔓$^{75}$ℵB [1%] NU

[r] εκεινους εισελθειν **f**$^{35}$ 𝔓$^{45}$A,D,N,W [95%] CP,HF,RP,TR ¦ ~ 21 [4%] OC ¦ αυτους 2 C [0.3%] ¦ ~ 2 αυτους ℵB [0.3%] NU ¦ 2 𝔓$^{75}$ ¦ two other variants

[s] αγαπητος **f**$^{35}$ A,C,N,W [89%] CP,HF,RP,TR,OC ¦ εκλελεγμενος 𝔓$^{45,75}$ℵB [0.5%] NU ¦ εκλεκτος [1%] ¦ 1 εν ω ευδοκησα (D) [9.5%]

[t] ο **f**$^{35}$ W [50%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵA,B,C,D [50%] NU

[u] εωρακασιν **f**$^{35}$ ℵA [92%] CP,HF,RP,TR,OC ¦ εωρακαν B [3%] NU ¦ εορακεν 𝔓$^{45}$ ¦ εορακασιν C,W [4%] ¦ εθεασαν D ¦ two other variants

[v] εν τη εξης ημερα **f**$^{35}$ A,C [97%] CP,HF,RP,TR,OC ¦ 234 ℵB,W [2.5%] NU ¦ της ημερας 𝔓$^{45}$ ¦ δια της ηερας D

[w] ανεβοησεν **f**$^{35}$ A,W [97.5%] CP,HF,RP,TR,OC ¦ εβοησεν 𝔓$^{45,75v}$ℵB,C,D [2.5%] NU

[x] επιβλεψον **f**$^{35}$ ℵD,W [55%] TR,OC ¦ επιβλεψαι 𝔓$^{45}$A,B,C [45%] CP,HF,RP,NU

[y] εστιν μοι **f**$^{35}$ W [85%] CP,HF,RP,TR ¦ ~ 21 𝔓$^{45v}$ℵA,B,C,D [15%] OC,NU

[z] εκβαλωσιν **f**$^{35}$ ℵA,B,C,W [96%] CP,HF,RP,OC,NU ¦ εκβαλλωσιν [4%] TR ¦ απαλλαξωσιν D

[a] και *rell* ¦ εως ποτε [18%]

[b] τον υιον σου ωδε **f**$^{35}$ A,C,W [97%] CP,HF,RP,OC ¦ ~ 4123 𝔓$^{75}$ℵB [3%] TR,NU ¦ 123 D

### *Jesus foretells His death, again*

Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν[c] ὁ Ἰησοῦς,[d] εἶπεν πρὸς τοὺς
μαθητὰς αὐτοῦ, **44** «Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους, ὁ γὰρ Υἱὸς
τοῦ Ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων.» **45** Οἱ δὲ ἠγνόουν τὸ
ῥῆμα τοῦτο· καὶ ἦν παρακεκαλυμμένον ἀπ᾽ αὐτῶν, ἵνα μὴ αἴσθωνται αὐτό· καὶ
ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.

### *He who is least will be great*

**46** Εἰσῆλθεν δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ τίς ἂν εἴη μείζων αὐτῶν. **47** Ὁ δὲ
Ἰησοῦς, ἰδὼν[e] τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου[f] ἔστησεν
αὐτὸ παρ᾽ ἑαυτῷ, **48** καὶ εἶπεν αὐτοῖς· «Ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ
ὀνόματί μου ἐμὲ δέχεται· καὶ ὃς ἐὰν[g] ἐμὲ δέξηται δέχεται τὸν ἀποστείλαντά με. Ὁ γὰρ
μικρότερος ἐν πᾶσιν ὑμῶν[h] ὑπάρχων, οὗτός ἔσται[i] μέγας.»

**49** Ἀποκριθεὶς δὲ ὁ[j] Ἰωάννης εἶπεν, «Ἐπιστάτα, εἴδομέν[k] τινα ἐπὶ[l] τῷ ὀνόματί σου
ἐκβάλλοντα[m] δαιμόνια, καὶ ἐκωλύσαμεν[n] αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ μεθ᾽ ἡμῶν.»
**50** Καὶ εἶπεν[o] πρὸς αὐτὸν ὁ Ἰησοῦς, «Μὴ κωλύετε,[p] ὃς γὰρ οὐκ ἔστιν καθ᾽ ἡμῶν[q]
ὑπὲρ ἡμῶν[r] ἐστιν.»

### *A Samaritan village*

**51** Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως[s] αὐτοῦ, καὶ αὐτὸς
τὸ πρόσωπον αὐτοῦ[t] ἐστήριξεν[u,v] τοῦ πορεύεσθαι εἰς Ἱερουσαλήμ, **52** καὶ ἀπέστειλεν
ἀγγέλους πρὸ προσώπου ἑαυτοῦ.[w] Καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν,
ὥστε[x] ἑτοιμάσαι αὐτῷ. **53** Καὶ οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν
πορευόμενον εἰς Ἱερουσαλήμ. **54** Ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ,[y] Ἰάκωβος καὶ

---

[c] εποιησεν **f**$^{35}$ W [89%] CP,HF,RP,TR,OC ¦ εποιει 𝔓$^{75}$(ℵ)A,B,C,D [11%] NU
[d] ο ιησους **f**$^{35}$ A,C,W [97%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$(ℵ)B,D [3%] NU
[e] ιδων **f**$^{35}$ A,C,D,W [84%] CP,HF,RP,TR,OC ¦ ειδως 𝔓$^{75v}$ℵB [15%] NU ¦ γνους [1%]
[f] παιδιου **f**$^{35}$ ℵA,W [97.5%] HF,RP,TR,OC ¦ παιδιον 𝔓$^{75}$B,C,D [2.5%] CP,NU
[g] εαν **f**$^{35}$ A,C,W [96%] CP,HF,RP,TR,OC ¦ αν 𝔓$^{45}$B [3.5%] NU ¦ --- ℵ(D) ¦ δ αν 𝔓$^{75}$
[h] υμων **f**$^{35}$ [20%] ¦ υμιν 𝔓$^{75}$ℵA,B,C [79%] CP,HF,RP,TR,OC,NU ¦ ημιν [1%]
[i] εσται **f**$^{35}$ A,W [95%] CP,HF,RP,TR ¦ εστιν 𝔓$^{75}$ℵB,C [4.5%] OC,NU ¦ εστε D ¦ εστιν ο 𝔓$^{45}$
[j] ο **f**$^{35}$ ℵA [94.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$B(C)D,W [5.5%] NU
[k] ειδομεν *rell* ¦ ιδομεν [12%] ¦ ειδωμεν [4%] ¦ ιδωμεν [3%] ¦ two other variants
[l] επι **f**$^{35}$ A,C,D,W [92.5%] CP,HF,RP,TR,OC ¦ εν 𝔓$^{45,75}$ℵB [7.5%] NU
[m] εκβαλλοντα *rell* ¦ 1 τα [2%] TR
[n] εκωλυσαμεν **f**$^{35}$ A,C,D,W [99.3%] CP,HF,RP,TR,OC ¦ εκωλυομεν 𝔓$^{75}$ℵB [0.7%] NU
[o] και ειπεν **f**$^{35}$ A,W [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε 𝔓$^{45,75}$ℵB,C,D [3.5%] NU
[p] κωλυετε *rell* ¦ 1 ου γαρ εστιν καθ υμων [2.5%] OC
[q] ημων **f**$^{35}$ [80%] CP,HF,RP,TR ¦ υμων 𝔓$^{(45)75}$ℵA,B,C,D,W [20%] OC,NU
[r] ημων **f**$^{35}$ ℵA [81%] CP,HF,RP,TR ¦ υμων 𝔓$^{45,75}$B,C,D,W [19%] OC,NU
[s] αναληψεως **f**$^{35}$ [99%] CP,HF,RP,TR,OC ¦ αναλημψεως 𝔓$^{45}$ℵ(A)B,C,D,W [1%] NU
[t] αυτου **f**$^{35}$ ℵA,C,D(W) [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$B [2%] NU
[u] εστηριξεν **f**$^{35}$ ℵA,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ εστηρισεν 𝔓$^{45,75}$B,C [1.5%] NU
[v] το προσωπον αυτου εστηριξεν *rell* ¦ ~ 4123 [3%] OC
[w] εαυτου **f**$^{35}$ A [40%] ¦ αυτου 𝔓$^{75}$ℵB,C,D,W [60%] CP,HF,RP,TR,OC,NU ¦ --- 𝔓$^{45}$
[x] ωστε **f**$^{35}$ A,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ως 𝔓$^{45,75}$ℵB,NU
[y] αυτου **f**$^{35}$ A,C,D,W [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB [2%] NU

Ἰωάννης, εἶπον, «Κύριε, θέλεις εἴπωμεν[z] πῦρ καταβῆναι ἀπὸ τοῦ[a] οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς, ὡς καὶ Ἠλίας ἐποίησεν;»[b] **55** Στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς καὶ εἶπεν· «Οὐκ οἴδατε οἵου πνεύματός ἐστε ὑμεῖς.[c] **56** Ὁ γὰρ Υἱὸς τοῦ Ἀνθρώπου οὐκ ἦλθεν ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι.»[d] Καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην.

### *The cost of discipleship*

**57** Ἐγένετο δὲ[e] πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ, εἶπέν τις πρὸς αὐτόν, «Ἀκολουθήσω σοι ὅπου ἂν[f] ἀπέρχῃ, Κύριε.»[g] **58** Καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, «Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ Υἱὸς τοῦ Ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.»[h]

**59** Εἶπεν δὲ πρὸς ἕτερον, «Ἀκολούθει μοι.» Ὁ δὲ εἶπεν, «Κύριε,[i] ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου.» **60** Εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς,[j] «Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς, σὺ δὲ ἀπελθὼν διάγγελλε[k] τὴν βασιλείαν τοῦ Θεοῦ.»

**61** Εἶπεν δὲ καὶ ἕτερος, «Ἀκολουθήσω σοι, Κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου.» **62** Εἶπεν δὲ ὁ Ἰησοῦς πρὸς αὐτόν,[l] «Οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ᾽ ἄροτρον,[m] καὶ βλέπων εἰς τὰ ὀπίσω,[n] εὔθετός ἐστιν εἰς τὴν βασιλείαν[o] τοῦ Θεοῦ.»

### *Jesus sends out the Seventy*

**10:1** Μετὰ δὲ ταῦτα, ἀνέδειξεν ὁ Κύριος καὶ[p] ἑτέρους ἑβδομήκοντα,[q] καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο[r] πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ

---

[z] ειπωμεν *rell* ¦ ειπομεν [17%]

[a] του *rell* ¦ --- [1.5%] OC

[b] ως και ηλιας εποιησεν **f**$^{35}$ A,C,D,W (97.3%) CP,HF,RP,TR,OC ¦ 134 (1.8%) ¦ --- 𝔓$^{45,75}$אB (1%) NU

[c] και ειπεν (λεγων 3.7%) ουκ οιδατε οιου (ποιου D 14.2% OC) πνευματος εστε υμεις (−υ. D 13.3%) **f**$^{35}$ (D) (73.2%) CP,HF,RP,TR(OC) ¦ --- 𝔓$^{45,75}$אA,B,C,W (26.8%) NU

[d] ο γαρ (−γ. 18.6% OC) υιος του ανθρωπου ουκ ηλθεν ψυχας ανθρωπων απολεσαι (αποκτειναι 9%) αλλα σωσαι **f**$^{35}$ (72.8%) CP,HF,RP,TR(OC) ¦ --- 𝔓$^{45,75}$אA,B,C,D,W (27.2%) NU

[e] εγενετο δε **f**$^{35}$ A,W [97%] CP,HF,RP,TR,OC ¦ ~ και 1 D [1%] ¦ και 𝔓$^{45,75}$אB,C [2%] NU

[f] αν **f**$^{35}$ 𝔓$^{75}$אD,W [57%] CP,HF,RP,TR ¦ εαν 𝔓$^{45}$A,B,C [43%] OC,NU

[g] κυριε **f**$^{35}$ A,C,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{(45)75}$אB(D) [1.5%] NU

[h] κλινη *rell* ¦ κλινει [32%]

[i] κυριε **f**$^{35}$ 𝔓$^{45,75}$אA,C,N,W,0181 [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,D [1%]

[j] ο ιησους **f**$^{35}$ A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$אB,D,0181 [1%] NU

[k] διαγγελλε **f**$^{35}$ 𝔓$^{45}$אA,B,C,D,N,W [85%] HF,RP,TR,OC,NU ¦ διαγγελε 𝔓$^{75}$ [15%] CP

[l] ο ιησους προς αυτον **f**$^{35}$ A,C,N,W [95%] CP,HF,RP,OC ¦ ~ 3412 א [3.5%] TR[NU] ¦ 34 [1%] ¦ 12 αυτω (D) ¦ 12 𝔓$^{45,75}$B,0181 [0.3%]

[m] αροτρον *rell* ¦ αρωτρον CP

[n] επιβαλων (επιβαλλων A,W) την χειρα αυτου επ αροτρον και βλεπων εις τα οπισω **f**$^{35}$ א(A)C,N(W) [99%] CP,HF,RP,TR,OC ¦ 1 (επιβαλλων 𝔓$^{75}$0181) 23,5-11 𝔓$^{75}$B,0181 [1%] NU ¦ ~ 9-11,87 επιβαλλων 2-6 𝔓$^{45v}$D

[o] εις την βασιλειαν **f**$^{35}$ A,C,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ τη βασιλεια אB,0181 [1%] NU ¦ εν τη βασιλεια 𝔓$^{75}$ [0.3%]

[p] και **f**$^{35}$ אA,C,D,W [99.4%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$B,0181 [0.6%] NU

[q] εβδομηκοντα **f**$^{35}$ אA,C,W [99%] CP,HF,RP,TR,OC ¦ 1 δυο 𝔓$^{75}$B,D,0181 [1%] [NU]

[r] δυο **f**$^{35}$ אA,C,D,N,W,0181 [88%] CP,HF,RP,TR,OC ¦ 11 B [12%] [NU]

ἔμελλεν[s] αὐτὸς ἔρχεσθαι. **2** Ἔλεγεν οὖν[t] πρὸς αὐτούς· «Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ
ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας[u] εἰς τὸν
θερισμὸν αὐτοῦ.

**3** »Ὑπάγετε· ἰδού, ἐγὼ[v] ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. **4** Μὴ
βαστάζετε βαλάντιον,[w] μὴ πήραν, μὴ[x] ὑποδήματα· καὶ μηδένα κατὰ τὴν ὁδὸν
ἀσπάσησθε. **5** Εἰς ἣν δ᾽ ἂν οἰκίαν εἰσέρχησθε,[y] πρῶτον λέγετε, ‹Εἰρήνη τῷ οἴκῳ
τούτῳ.› **6** Καὶ ἐὰν μὲν[z] ᾖ ἐκεῖ[a] υἱὸς[b] εἰρήνης, ἐπαναπαύσεται[c] ἐπ᾽ αὐτὸν ἡ εἰρήνη
ὑμῶν· εἰ δὲ μή γε, ἐφ᾽ ὑμᾶς ἀνακάμψει.[d] **7** Ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε, ἐσθίοντες καὶ
πίνοντες τὰ παρ᾽ αὐτῶν, ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστιν.[e] Μὴ
μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν.

**8** »Καὶ εἰς ἣν δ᾽ ἂν[f] πόλιν εἰσέρχησθε, καὶ δέχωνται[g] ὑμᾶς, ἐσθίετε τὰ
παρατιθέμενα ὑμῖν. **9** Καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς καὶ λέγετε αὐτοῖς,
‹Ἤγγικεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ.› **10** Εἰς ἣν δ᾽ ἂν πόλιν εἰσέρχησθε,[h] καὶ μὴ
δέχωνται[i] ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς εἴπατε· **11** ‹Καὶ τὸν κονιορτὸν τὸν[j]
κολληθέντα ἡμῖν ἐκ[k] τῆς πόλεως ὑμῶν[l] ἀπομασσόμεθα ὑμῖν. Πλὴν τοῦτο γινώσκετε,
ὅτι ἤγγικεν ἐφ᾽ ὑμᾶς[m] ἡ βασιλεία τοῦ Θεοῦ.› **12** Λέγω[n] ὑμῖν ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἀνεκτότερον ἔσται ἢ τῇ πόλει ἐκείνῃ.

---

[s] εμελλεν **f**$^{35}$ D [55%] CP,HF,RP,TR ¦ ημελλεν ℵA,B,C,N,W,0181 [45%] OC,NU
[t] ουν **f**$^{35}$ A,N,W,0181 [95%] CP,HF,RP,TR,OC ¦ δε ℵB,C,D [5%] NU
[u] εκβαλη εργατας **f**$^{35}$ ℵA,C,N,W [84%] CP,HF,RP,OC ¦ εκβαλλη 2 [14.6%] TR ¦ εκβαλει 2 [1%] ¦ ~ 21 (𝔓$^{75}$)B,D,0181 [0.4%] [NU]
[v] εγω **f**$^{35}$ C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,B,0181 [1%] NU
[w] βαλαντιον **f**$^{35}$ [70%] HF,RP,TR ¦ βαλλαντιον 𝔓$^{75}$ℵA,B,C,D,N,W,0181 [30%] CP,OC,NU
[x] μη **f**$^{35}$ 𝔓$^{75}$ℵB,D,0181 [26%] NU ¦ μηδε A,C,W [74%] CP,HF,RP,TR,OC
[y] οικιαν εισερχησθε **f**$^{35}$ A,W [94.5%] CP,HF,RP,TR,OC ¦ 1 εισερχεσθε [2.5%] ¦ ~ εισελθητε 1 𝔓$^{75}$(ℵ)B(D)0181 [0.5%] NU ¦ 1 εισελθητε C [1.5%] ¦ two other variants [1%]
[z] μεν **f**$^{35}$ 0181 [25%] TR ¦ --- 𝔓$^{75}$ℵA,B,C,D,W [75%] CP,HF,RP,OC,NU
[a] η εκει **f**$^{35}$ ℵA,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$B [0.3%] NU
[b] υιος **f**$^{35}$ 𝔓$^{75}$A,B,C,D,W [97%] CP,HF,RP,OC,NU ¦ ο 1 ℵ [3%] TR
[c] επαναπαυσεται **f**$^{35}$ A,C(W) [98%] CP,HF,RP,TR,OC ¦ επαναπαυσετε D [1%] ¦ επαναπαησεται 𝔓$^{75}$ℵB,0181,NU ¦ three other variants
[d] ανακαμψει *rell* ¦ επανακαμψει OC
[e] εστιν **f**$^{35}$ A,C,D,W [97.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB [2.5%] NU
[f] δαν **f**$^{35}$ A [50%] CP,TR ¦ αν 𝔓$^{75}$ℵB,D,W [50%] HF,RP,OC,NU
[g] δεχωνται **f**$^{35}$ ℵA,B,C,D [55%] CP,HF,RP,TR,OC,NU ¦ δεχονται W [45%]
[h] εισερχησθε **f**$^{35}$ A,W,0181 [92.5%] CP,HF,RP,TR,OC ¦ εισερχεσθε [5%] ¦ εισελθητε 𝔓$^{45v,75}$ℵB,C,D [2.5%] NU
[i] δεχωνται **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,C,D,W [60%] CP,HF,RP,TR,OC,NU ¦ δεχονται [40%]
[j] τον *rell* ¦ --- CP
[k] εκ *rell* ¦ απο [1%] OC
[l] υμων **f**$^{35}$ [79%] CP,HF,RP,TR ¦ 1 εις τους ποδας 𝔓$^{(45)75}$ℵB,D [1%] NU ¦ 1 εις τους ποδας ημων A,C(W) [20%] OC
[m] εφ υμας **f**$^{35}$ A,C,W [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,D,0181 [2%] NU
[n] λεγω **f**$^{35}$ 𝔓$^{45,75}$A,B,C,W [80%] CP,HF,RP,NU ¦ 1 δε ℵD [20%] TR,OC

### Jesus gives the example

**13** »Οὐαί σοι, Χοραζίν,[o] οὐαί σοι, Βηθσαϊδά·[p] ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο[q]
αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι[r]
μετενόησαν. **14** Πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν. **15** Καὶ
σύ, Καπερναούμ,[s] ἡ[t] ἕως τοῦ[u] οὐρανοῦ ὑψωθεῖσα,[v] ἕως[w] Ἅδου[x] καταβιβασθήσῃ.[y]

**16** »Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν
ἀθετεῖ τὸν ἀποστείλαντά με.»

### *The Seventy return and report*

**17** Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς[z] λέγοντες, «Κύριε, καὶ τὰ δαιμόνια
ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου.» **18** Εἶπεν δὲ αὐτοῖς· «Ἐθεώρουν τὸν Σατανᾶν
ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. **19** Ἰδού, δίδωμι[a] ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν
ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς
οὐ μὴ ἀδικήσῃ.[b] **20** Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται·
χαίρετε δὲ[c] ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη[d] ἐν τοῖς οὐρανοῖς.»

### *Jesus worships His Father*

**21** Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς[e] καὶ εἶπεν·
«Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα
ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναί, ὁ Πατήρ, ὅτι οὕτως
ἐγένετο εὐδοκία[f] ἔμπροσθέν σου.»

---

[o] χωραζιν **f**$^{35}$ N [35%] CP ¦ χωραζειν [15%] ¦ χοραζιν [29%] HF,RP,TR,OC,NU ¦ χοραζειν 𝔓$^{45,75}$ℵA,B,C [20%] ¦ χοραζαιν D ¦ χορεζειν W ¦ four other variants

[p] βηθσαιδα **f**$^{35}$ C(N) [81%] CP,HF,RP,TR,OC,NU ¦ βηθσαιδαν 𝔓$^{45}$ℵW [15%] ¦ βιθσαιδα [1.5%] ¦ βηδσαιδα 𝔓$^{75}$A,B [0.3%] ¦ βεδσαιδα D ¦ nine other variants [2%]

[q] εγενοντο **f**$^{35}$ A,C,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ εγενηθησαν 𝔓$^{45}$ℵB,D [2%] NU ¦ εγεννηθησαν 𝔓$^{75}$

[r] καθημεναι **f**$^{35}$ 𝔓$^{45}$D [94%] CP,HF,RP,TR ¦ καθημενοι 𝔓$^{75}$ℵA,B,C,N,W [6%] OC,NU

[s] καπερναουμ **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ καφαρναουμ 𝔓$^{45,75}$ℵB,C,D [1%] NU

[t] η **f**$^{35}$ A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ μη 𝔓$^{45,75}$ℵB,D [1%] NU

[u] του **f**$^{35}$ A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,C,D [1.5%] NU

[v] υψωθεισα **f**$^{35}$ A,C,N,W [93.5%] CP,HF,RP,TR,OC ¦ υψωθησα [5%] ¦ υψωθηση 𝔓$^{45,75}$ℵB,D [1.5%] NU

[w] εως **f**$^{35}$ 𝔓$^{45}$ A,C,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ 1 του 𝔓$^{75}$B [1.5%] NU ¦ 1 ο ℵ

[x] αδου *rell* ¦ αιδου HF

[y] καταβιβασθηση **f**$^{35}$ 𝔓$^{45}$ℵA,C,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ καταβηση 𝔓$^{75}$B,D [0.5%] NU

[z] οι εβδομηκοντα μετα χαρας **f**$^{35}$ ℵC,N,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 3412 A [2%] ¦ 12 δυο 34 𝔓$^{45,75}$B,D [1%] [NU]

[a] διδωμι **f**$^{35}$ 𝔓$^{45}$A,D,N [97.5%] CP,HF,RP,TR,OC ¦ δεδωκα 𝔓$^{75}$ℵB,C,W [2.5%] NU

[b] αδικηση *rell* ¦ αδικησει ℵA,D,W [20%]

[c] δε *rell* ¦ 1 μαλλον [3%] TR

[d] εγραφη **f**$^{35}$ 𝔓$^{45v}$A,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ εγγεγραπται 𝔓$^{75}$ℵB [1%] NU ¦ three other variants

[e] τω πνευματι ο ιησους **f**$^{35}$ A,W (92.7%) CP,HF,RP,TR,OC ¦ εν 1234 (0.2%) ¦ ~ 34 εν 12 (N) (2.4%) ¦ 12 (0.6%) ¦ 34 (0.5%) ¦ εν 12 𝔓$^{45v}$ (0.1%) ¦ 121 αγιω 34 C (2.8%) ¦ 121 αγιω 𝔓$^{75}$ B ¦ εν 121 αγιω ℵD (0.2%) [NU] ¦ three other readings (0.3%)

[f] εγενετο ευδοκια **f**$^{35}$ ℵA,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{45v,75}$B,C [1%] NU

**22** Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπεν·[g] «Πάντα μοι παρεδόθη[h] ὑπὸ τοῦ
Πατρός μου· καὶ οὐδεὶς γινώσκει[i] τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ, καὶ τίς ἐστιν ὁ
Πατὴρ εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι.» **23** Καὶ στραφεὶς πρὸς
τοὺς μαθητὰς κατ᾽ ἰδίαν εἶπεν· «Μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε.
**24** Λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε
καὶ οὐκ εἶδον,[j] καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν.»

### *How to inherit eternal life*

**25** Καὶ ἰδού, νομικός τις ἀνέστη, ἐκπειράζων αὐτὸν καὶ[k] λέγων, «Διδάσκαλε, τί
ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;» **26** Ὁ δὲ εἶπεν πρὸς αὐτόν· «Ἐν τῷ νόμῳ τί
γέγραπται; Πῶς ἀναγινώσκεις;» **27** Ὁ δὲ ἀποκριθεὶς εἶπεν· «Ἀγαπήσεις Κύριον τὸν
Θεόν σου ἐξ ὅλης τῆς[l] καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς[m] σου, καὶ ἐξ ὅλης τῆς
ἰσχύος[n] σου, καὶ ἐξ ὅλης τῆς διανοίας[o] σου, καί, τὸν πλησίον σου ὡς σεαυτόν.»[p]
**28** Εἶπεν δὲ αὐτῷ, «Ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσῃ.» **29** Ὁ δέ, θέλων
δικαιοῦν[q] ἑαυτόν, εἶπεν πρὸς τὸν Ἰησοῦν, «Καὶ τίς ἐστίν μου πλησίον;»

### The good Samaritan

**30** Ὑπολαβὼν δὲ[r] ὁ Ἰησοῦς εἶπεν· «Ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς
Ἱεριχώ, καὶ λῃσταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες[s] αὐτὸν καὶ πληγὰς ἐπιθέντες
ἀπῆλθον, ἀφέντες ἡμιθανῆ τυγχάνοντα.[t] **31** Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν
ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. **32** Ὁμοίως δὲ καὶ Λευΐτης,
γενόμενος[u] κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν[v] ἀντιπαρῆλθεν. **33** Σαμαρείτης[w] δέ τις,
ὁδεύων, ἦλθεν κατ᾽ αὐτόν, καὶ ἰδὼν αὐτὸν[x] ἐσπλαγχνίσθη· **34** καὶ προσελθὼν
κατέδησεν τὰ τραύματα αὐτοῦ, ἐπιχέων ἔλαιον καὶ οἶνον· ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ
ἴδιον κτῆνος, ἤγαγεν αὐτὸν[y] εἰς πανδοχεῖον, καὶ ἐπεμελήθη αὐτοῦ. **35** Καὶ ἐπὶ τὴν

---

[g] και στραφεις προς τους μαθητας ειπεν **f**$^{35}$ A,C,N,W (77.7%) CP,HF,RP,TR,OC ¦ 12345 αυτου 6 (11.7%) ¦ --- 𝔓$^{45,75}$ℵB,D (9.4%) NU ¦ longer omissions (1.2%) (The TR underlying the AV and NKJV omits the clause.)

[h] μοι παρεδοθη **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,C,D,N,W [95%] CP,HF,RP,OC,NU ¦ ~ 21 [1%] TR ¦ 1 παρεδωθη [3%] ¦ 1 παραδεδοται [1%]

[i] γινωσκει *rell* ¦ επιγινωσκει C [8%] OC

[j] ειδον *rell* ¦ ειδαν B [0.2%] NU ¦ ιδαν 𝔓$^{75}$ℵC,N [0.5%] ¦ ιδον [6%]

[k] και **f**$^{35}$ A,C,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB [0.5%] NU

[l] της **f**$^{35}$ ℵA,C,N,W [98.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{75}$B [1.5%] ¦ τη (D)

[m] εξ ολης της ψυχης **f**$^{35}$ A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ εν ολη τη ψυχη 𝔓$^{45v,75}$ℵB,D [1%] NU

[n] εξ ολης της ισχυος **f**$^{35}$ A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ εν ολη τη ισχυι 𝔓$^{75}$ℵB,D [1%] NU

[o] εξ ολης της διανοιας **f**$^{35}$ A,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ εν ολη τη διανοια 𝔓$^{75}$ℵB [1%] NU ¦ --- D

[p] σεαυτον *rell* ¦ εαυτον A,N [20%] OC

[q] δικαιουν **f**$^{35}$ A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ δικαιωσαι 𝔓$^{45v,75}$ℵB,C(D) [1.5%] NU

[r] δε **f**$^{35}$ A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,C,NU

[s] εκδυσαντες *rell* ¦ εξεδυσαν [30%]

[t] τυγχανοντα **f**$^{35}$ A(C)N,W [97.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,D [2.5%] NU

[u] γενομενος **f**$^{35}$ 𝔓$^{45}$A,C,D,N,W [97.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{75}$B [2.5%] (Aleph omits the whole verse.)

[v] ιδων *rell* ¦ 1 αυτον A,D [15%]

[w] σαμαρειτης *rell* ¦ σαμαριτης ℵC,D,W [3.5%] ¦ σαμαρειτις [13%] ¦ two other variants N [0.5%]

[x] αυτον **f**$^{35}$ A,C,D,N,W [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB [2%] NU

[y] αυτον *rell* ¦ --- [6%] CP

αὔριον ἐξελθών,[z] ἐκβαλὼν δύο δηνάρια, ἔδωκεν[a] τῷ πανδοχεῖ, καὶ εἶπεν αὐτῷ,[b]
‹Ἐπιμελήθητι αὐτοῦ· καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με
ἀποδώσω σοι.› **36** Τίς οὖν[c] τούτων τῶν τριῶν πλησίον, δοκεῖ σοι,[d] γεγονέναι τοῦ
ἐμπεσόντος εἰς τοὺς λῃστάς;» **37** Ὁ δὲ εἶπεν, «Ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ.» Εἶπεν
οὖν[e] αὐτῷ ὁ Ἰησοῦς, «Πορεύου καὶ σὺ ποίει ὁμοίως.»

### *Martha and Mary*

**38** Ἐγένετο δὲ ἐν[f] τῷ πορεύεσθαι αὐτούς, καὶ[g] αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά.
Γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς.[h] **39** Καὶ τῇδε ἦν
ἀδελφὴ καλουμένη Μαρία,[i] ἣ[j] καὶ παρακαθίσασα[k] παρὰ[l] τοὺς πόδας τοῦ Ἰησοῦ[m]
ἤκουεν τῶν λόγων[n] αὐτοῦ. **40** Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν·
ἐπιστᾶσα δὲ εἶπεν· «Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπεν[o]
διακονεῖν; Εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται.» **41** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν
αὐτῇ·[p] «Μάρθα, Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ[q] περὶ πολλά, **42** ἑνὸς δέ ἐστιν χρεία.
Μαρία[r] δὲ[s] τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽[t] αὐτῆς.»

### *A model prayer*

**11:1** Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο
εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν, «Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς
καὶ Ἰωάννης ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ.» **2** Εἶπεν δὲ αὐτοῖς· «Ὅταν προσεύχησθε[u]
λέγετε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,[v] ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ
βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ[w] καὶ ἐπὶ τῆς γῆς.[x] **3** Τὸν ἄρτον

---

[z] εξελθων **f**$^{35}$ A(C)W [96.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{45,75}$אB,D [3.5%] NU
[a] δυο δηναρια εδωκεν **f**$^{35}$ אA,C [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 312 **𝔓**$^{45,75}$B,NU ¦ ~ 213 D
[b] αυτω **f**$^{35}$ אA,C,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{45,75}$B,D [3%] NU
[c] ουν **f**$^{35}$ A,C(D)W [98.5%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{45,75}$אB [1.5%] NU
[d] πλησιον δοκει σοι **f**$^{35}$ **𝔓**$^{75}$אA,B,C,W [94%] CP,HF,RP,OC,NU ¦ ~ 231 **𝔓**$^{45}$D [6%] TR
[e] ουν **f**$^{35}$ A,W [91%] CP,HF,RP,TR,OC ¦ δε **𝔓**$^{45,75}$אB,C,D [9%] NU
[f] εγενετο δε εν **f**$^{35}$ A,C,D,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 32 **𝔓**$^{45,75}$אB [1.5%] NU
[g] και **f**$^{35}$ A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{(45)75}$אB(D) [1%] NU
[h] εις τον οικον αυτης **f**$^{35}$ A,D,W (99.2%) CP,HF,RP,TR,OC ¦ 1 την οικιαν אC (0.4%) ¦ --- **𝔓**$^{45,75}$B,NU ¦ three other variants (0.2%)
[i] μαρια **f**$^{35}$ **𝔓**$^{45}$A,B,D [98.5%] CP,HF,RP,TR,OC ¦ μαριαμ **𝔓**$^{75}$אC,W [1.5%] NU
[j] η **f**$^{35}$ A,B,C,D,W [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**$^{45,75}$א [0.5%]
[k] παρακαθισασα **f**$^{35}$ **𝔓**$^{45}$D(W) [73%] CP,HF,RP,TR,OC ¦ παρακαθησασα [26.5%] ¦ παρακαθεσθεισα **𝔓**$^{75}$(א)A,B,C [0.5%] NU
[l] παρα **f**$^{35}$ **𝔓**$^{45}$A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ προς **𝔓**$^{75}$אB,C [0.5%] NU
[m] ιησου **f**$^{35}$ **𝔓**$^{45,75}$A,W [99%] CP,HF,RP,TR,OC ¦ κυριου אB,C,D [1%] NU
[n] των λογων **f**$^{35}$ [37%] CP ¦ τον λογον **𝔓**$^{45,75}$אA,B,C(D)W [63%] HF,RP,TR,OC,NU
[o] κατελιπεν **f**$^{35}$ **𝔓**$^{45,75}$א(D) [70%] CP,TR,OC,NU ¦ κατελειπεν A,B,C [30%] HF,RP ¦ ενκατελιψεν W
[p] ο ιησους ειπεν αυτη **f**$^{35}$ D [40%] CP ¦ ~ 3412 AC,W [59%] HF,RP,TR,OC ¦ ~ 341 κυριος **𝔓**$^{75}$אB [1%] NU ¦ 1 κυριος 34 **𝔓**$^{45}$
[q] τυρβαζη **f**$^{35}$ A [89%] CP,HF,RP,TR,OC ¦ τυρβαζει [10%] ¦ θορυβαζη **𝔓**$^{45,75}$אB,C(D)W [1%] NU
[r] μαρια **f**$^{35}$ אA,C,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ μαριαμ **𝔓**$^{75}$B [0.5%] NU
[s] δε **f**$^{35}$ A,C,W [94%] CP,HF,RP,TR,OC ¦ γαρ **𝔓**$^{75}$אB [6%] NU ¦ --- D
[t] απ **f**$^{35}$ **𝔓**$^{75}$A,C,W [99.6%] CP,HF,RP,TR,OC ¦ --- אB,D [0.4%] NU
[u] προσευχησθε *rell* ¦ προσευχεσθε **𝔓**$^{75}$A [10%] ¦ προσευχεσθαι C,W [5%]
[v] ημων ο εν τοις ουρανοις **f**$^{35}$ A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{75}$אB [1%] NU
[w] γενηθητω το θελημα σου ως εν ουνανω **f**$^{35}$ אA,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{75}$B [1%] NU
[x] και επι της γης **f**$^{35}$ [92%] CP,HF,RP,TR,OC ¦ 124 (א)A,C,D,W [7%] ¦ --- **𝔓**$^{75}$B [1%] NU

ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ᾽ ἡμέραν· **4** καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν[y] παντὶ[z] ὀφείλοντι ἡμῖν. Καί, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.»[a]

### *A request at midnight*

**5** Καὶ εἶπεν πρὸς αὐτούς· «Τίς ἐξ ὑμῶν ἕξει φίλον καὶ πορεύσεται πρὸς αὐτὸν μεσονυκτίου καὶ εἴπῃ[b] αὐτῷ, ‹Φίλε, χρῆσόν μοι τρεῖς ἄρτους, **6** ἐπειδὴ φίλος[c] παρεγένετο ἐξ ὁδοῦ πρός με, καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ›· **7** κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ, ‹Μή μοι κόπους πάρεχε· ἤδη ἡ θύρα κέκλεισται, καὶ τὰ παιδία μου μετ᾽ ἐμοῦ εἰς τὴν κοίτην εἰσίν· οὐ δύναμαι ἀναστὰς δοῦναί σοι›; **8** Λέγω ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ τὸ εἶναι αὐτοῦ φίλον,[d] διά γε τὴν ἀναίδειαν αὐτοῦ ἐγερθεὶς δώσει αὐτῷ ὅσον[e] χρῄζει.

**9** »Κἀγὼ ὑμῖν λέγω· αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται[f] ὑμῖν. **10** Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι ἀνοιγήσεται.[g] **11** Τίνα δὲ[h] ὑμῶν τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει[i] αὐτῷ;[j] Ἢ καὶ[k] ἰχθύν, μὴ[l] ἀντὶ ἰχθύος ὄφιν ἐπιδώσει αὐτῷ;[m] **12** Ἢ καὶ ἐὰν[n] αἰτήσῃ[o] ᾠόν, μὴ[p] ἐπιδώσει αὐτῷ σκορπίον; **13** Εἰ οὖν ὑμεῖς, πονηροὶ ὑπάρχοντες,[q,r] οἴδατε δόματα ἀγαθὰ[s] διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὁ ἐξ οὐρανοῦ[t] δώσει Πνεῦμα Ἅγιον[u] τοῖς αἰτοῦσιν αὐτόν.»

---

[y] αφιεμεν **f**$^{35}$ ℵ [74%] CP,HF,RP,TR,OC ¦ αφιομεν 𝔓$^{75}$A,C [21%] NU ¦ αφειομεν B,D,W [0.5%] ¦ αφιωμεν [4%] ¦ four other variants

[z] παντι *rell* ¦ 1 τω [8%] OC

[a] αλλα ρυσαι ημας απο του πονηρου **f**$^{35}$ A,C,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB [1%] NU

[b] ειπη *rell* ¦ ερει A,D,W [22%] OC

[c] φιλος **f**$^{35}$ C [70%] CP,HF,RP ¦ 1 μου 𝔓$^{75}$ℵA,B,W [30%] TR,OC,NU ¦ μοι D

[d] αυτου φιλον **f**$^{35}$ [92.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{45,75}$ℵB,C [2.5%] NU ¦ 1 φιλος W [1%] ¦ αυτον 2 A,D [4%]

[e] οσον **f**$^{35}$ (D) [87%] CP,HF,RP ¦ οσων 𝔓$^{45,75}$ℵA,B,C,W [13%] TR,OC,NU

[f] ανοιγησεται **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,C [60%] CP,HF,RP,TR,OC,NU ¦ ανοιχθησεται D,W [40%]

[g] ανοιγησεται **f**$^{35}$ C [50%] CP,HF,RP,TR[NU] [ανυγησεται (ℵ)𝔓$^{45}$] ¦ ανοιχθησεται A(W) [50%] OC ¦ ανοιγεται 𝔓$^{75}$B,D

[h] δε **f**$^{35}$ [78%] CP,HF,RP,TR ¦ 1 εξ 𝔓$^{(45)75}$ℵA,B,C,D,W [22%] OC,NU

[i] επιδωσει *rell* ¦ δωσει CP

[j] αρτον μη λιθον επιδωσει αυτω **f**$^{35}$ ℵA,C(D)W [99.8%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$B [0.2%] NU

[k] η και **f**$^{35}$ A(C)D,W [88%] CP,HF,RP,OC ¦ ει 2 [10%] TR ¦ 1 ℵ [2%] ¦ --- 𝔓$^{45,75}$B [0.2%] NU

[l] μη **f**$^{35}$ ℵA,C,D,W [99.8%] CP,HF,RP,TR,OC ¦ και 𝔓$^{45,75}$B,NU

[m] επιδωσει αυτω **f**$^{35}$ 𝔓$^{45}$ℵA,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$B,D [0.5%] NU

[n] εαν **f**$^{35}$ 𝔓$^{45}$(C)(D) [92.5%] CP,HF,RP,TR,OC ¦ αν A,W [6%] ¦ --- 𝔓$^{75}$ℵB [1.5%] NU

[o] αιτηση **f**$^{35}$ (𝔓$^{45}$)W [90%] CP,HF,RP,TR,OC ¦ αιτησει 𝔓$^{75}$ℵA,B(C)(D) [10%] NU

[p] μη **f**$^{35}$ ℵA(C)(D)W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$B [1%] NU

[q] υπαρχοντες *rell* ¦ οντες ℵD [15%]

[r] πονηροι υπαρχοντες *rell* ¦ ~ 21 OC

[s] δοματα αγαθα **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,C,D,W [97%] HF,RP,OC,NU ¦ ~ 21 𝔓$^{45}$ [3%] CP,TR

[t] ο εξ ουρανου **f**$^{35}$ A,B(C)D,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ 23 𝔓$^{75}$ℵ [2%] ¦ 1 ουρανιος 𝔓$^{45}$

[u] αγιον *rell* ¦ αγαθον 𝔓$^{45}$ [1.5%] OC

*A divided house*

**14** Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν[v] κωφόν. Ἐγένετο δέ, τοῦ δαιμονίου
ἐξελθόντος, ἐλάλησεν ὁ κωφός· καὶ ἐθαύμασαν[w] οἱ ὄχλοι. **15** Τινὲς δὲ ἐξ αὐτῶν εἶπον,
«Ἐν Βεελζεβούλ,[x] ἄρχοντι τῶν δαιμονίων, ἐκβάλλει τὰ δαιμόνια.»[y] **16** Ἕτεροι δὲ
πειράζοντες, σημεῖον παρ᾽ αὐτοῦ ἐζήτουν ἐξ οὐρανοῦ.[z]

**17** Αὐτὸς δέ, εἰδὼς αὐτῶν τὰ διανοήματα,[a] εἶπεν αὐτοῖς· «Πᾶσα βασιλεία ἐφ᾽
ἑαυτὴν διαμερισθεῖσα[b] ἐρημοῦται, καὶ οἶκος ἐπὶ[c] οἶκον πίπτει. **18** Εἰ δὲ καὶ ὁ Σατανᾶς
ἐφ᾽ ἑαυτὸν διεμερίσθη,[d] πῶς σταθήσεται ἡ βασιλεία αὐτοῦ;—ὅτι λέγετε ἐν
Βεελζεβοὺλ ἐκβάλλειν με[e] τὰ δαιμόνια. **19** Εἰ δὲ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ
δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;[f] Διὰ τοῦτο κριταὶ αὐτοὶ ὑμῶν ἔσονται.[g]
**20** Εἰ δὲ ἐν δακτύλῳ Θεοῦ[h] ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία
τοῦ Θεοῦ.

**21** »Ὅταν ὁ ἰσχυρός, καθωπλισμένος, φυλάσσῃ[i] τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ
ἐστὶν τὰ ὑπάρχοντα αὐτοῦ. **22** Ἐπὰν δὲ ὁ[j] ἰσχυρότερος αὐτοῦ ἐπελθών, νικήσῃ[k] αὐτόν,
τὴν πανοπλίαν αὐτοῦ αἴρει ἐφ᾽ ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ διαδίδωσιν.

**23** »Ὁ μὴ ὢν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστιν, καὶ ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ σκορπίζει.

*An empty house*

**24** »Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι᾽ ἀνύδρων
τόπων ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον[l] λέγει, ‹Ὑποστρέψω εἰς τὸν οἶκόν μου
ὅθεν ἐξῆλθον.› **25** Καὶ ἐλθὸν[m] εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημένον. **26** Τότε
πορεύεται καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα, πονηρότερα ἑαυτοῦ,[n] καὶ

[v] και αυτο ην $\mathbf{f}^{35}$ C,W (93.9%) CP,HF,RP,TR,OC[NU] ¦ 1 αυτω 3 (3.9%) ¦ 1 αυτον 3 (0.2%) ¦ --- $\mathfrak{P}^{45,75}$ℵA,B (1.6%) ¦ six other variants D (0.4%)

[w] εθαυμασαν *rell* ¦ εθαυμαζον [1%] OC

[x] βεελζεβουλ $\mathbf{f}^{35}$ D,N [82%] CP,HF,RP,TR ¦ 1 τω $\mathfrak{P}^{45,75}$ℵB,C,W [18%] OC,NU ¦ 1 των A

[y] δαιμονια *rell* ¦ 1 ο δε (και 9%) αποκριθεις ειπεν (−1234 3%) πως δυναται σατανας σαταναν εκβαλλειν (εκβαλειν D 1%) A(D) [22%]

[z] παρ αυτου εζητουν (επεζητουν 4%) εξ ουρανου $\mathbf{f}^{35}$ N,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 45312 $\mathfrak{P}^{45,75}$ℵA,B,C,D [2.5%] NU ¦ at least eight further variants [1.5%]

[a] αυτων τα διανοηματα $\mathbf{f}^{35}$ $\mathfrak{P}^{75}$ℵB,C,D,N,W [92%] HF,RP,TR,OC,NU ¦ ~ 231 $\mathfrak{P}^{45}$A [8%] CP

[b] διαμερισθεισα $\mathbf{f}^{35}$ $\mathfrak{P}^{75}$(ℵA)B(D) [80%] HF,RP,TR,OC,NU ¦ μερισθεισα ($\mathfrak{P}^{45}$)C,N,W [20%] CP

[c] επι *rell* ¦ επ C,D [17%]

[d] διεμερισθη $\mathbf{f}^{35}$ $\mathfrak{P}^{75}$A,B,D,N [81%] HF,RP,TR,OC,NU ¦ εμερισθη $\mathfrak{P}^{45}$ℵC,W [19%] CP

[e] εκβαλλειν με *rell* ¦ ~ 21 OC

[f] εκβαλλουσιν *rell* ¦ εκβαλουσιν N,W [17%] OC ¦ εκβαλλωσιν [3.5%]

[g] κριται αυτοι υμων εσονται $\mathbf{f}^{35}$ [18%] ¦ ~ 2134 A,C,W [30%] OC ¦ ~ 1324 [52%] CP,HF,RP,TR ¦ ~ 2314 $\mathfrak{P}^{75}$B,D,NU ¦ ~ 2143 ℵ ¦ ~ 2341 N ¦ ~ 2431 $\mathfrak{P}^{45}$

[h] θεου $\mathbf{f}^{35}$ $\mathfrak{P}^{45}$ℵA,W [94%] CP,HF,RP,TR,OC ¦ 1 εγω $\mathfrak{P}^{75}$B,C(D,N) [6%] [NU]

[i] φυλασση *rell* ¦ φυλασσει D [20%]

[j] ο $\mathbf{f}^{35}$ A,C,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- $\mathfrak{P}^{45,75}$ℵB,D [1.5%] NU

[k] νικηση *rell* ¦ νικησει W [18%]

[l] ευρισκον $\mathbf{f}^{35}$ ℵA,C,D(W) [70%] HF,RP,TR,OC ¦ ευρισκων $\mathfrak{P}^{45}$ [27%] CP ¦ 1 τοτε $\mathfrak{P}^{75}$B [3%] [NU]

[m] ελθον $\mathbf{f}^{35}$ $\mathfrak{P}^{75}$ℵA,B,W [62%] HF,RP,TR,OC,NU ¦ ελθων $\mathfrak{P}^{45}$C,D [38%] CP

[n] επτα ετερα πνευματα πονηροτερα εαυτου $\mathbf{f}^{35}$ A,C(D)W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 23451 $\mathfrak{P}^{75}$ℵB [1.5%] NU

ἐλθόντα[o] κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν
πρώτων.»

*True blessedness*

**27** Ἐγένετο δέ,[p] ἐν τῷ λέγειν αὐτὸν ταῦτα, ἐπάρασά τις γυνὴ φωνὴν[q] ἐκ τοῦ ὄχλου
εἶπεν αὐτῷ, «Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας.»
**28** Αὐτὸς δὲ εἶπεν, «Μενοῦν γε,[r] μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ καὶ
φυλάσσοντες αὐτόν.»[s]

*Jonah is a sign*

**29** Τῶν δὲ ὄχλων ἐπαθροιζομένων, ἤρξατο λέγειν· «Ἡ γενεὰ αὕτη[t] πονηρά ἐστιν.
Σημεῖον ἐπιζητεῖ,[u] καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ
προφήτου.[v] **30** Καθὼς γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις,[w] οὕτως ἔσται καὶ ὁ
Υἱὸς τοῦ Ἀνθρώπου τῇ γενεᾷ ταύτῃ.[x] **31** Βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει
μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτούς, ὅτι ἦλθεν ἐκ τῶν
περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος,[y] καὶ ἰδού, πλεῖον Σολομῶνος[z] ὧδε.
**32** Ἄνδρες Νινευῒ[a] ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης, καὶ
κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδού, πλεῖον Ἰωνᾶ
ὧδε.

*Light inside the body*

**33** »Οὐδεὶς δὲ[b] λύχνον ἅψας, εἰς κρυπτὴν[c] τίθησιν οὐδὲ ὑπὸ τὸν μόδιον,[d] ἀλλ᾽ ἐπὶ
τὴν λυχνίαν, ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος[e] βλέπωσιν. **34** Ὁ λύχνος τοῦ σώματός
ἐστιν ὁ ὀφθαλμός.[f] Ὅταν οὖν[g] ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ,[h] ὅλον τὸ σῶμά σου

---

[o] ελθοντα **f**$^{35}$ [70%] HF,RP ¦ εισελθοντα 𝔓$^{75}$ℵA,B,C,D,W [30%] CP,TR,OC,NU
[p] εγενετο δε *rell* ¦ ~ και 1 CP
[q] γυνη φωνην **f**$^{35}$ A,C(D)W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$ℵB [0.3%] NU
[r] γε **f**$^{35}$ C,D [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,B,W [5%] NU
[s] αυτον **f**$^{35}$ [82%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$A,B,C,D,W [18%] NU ¦ τον λογον του θεου ℵ
[t] αυτη **f**$^{35}$ C,W [93.5%] CP,HF,RP,TR ¦ 1 γενεα 𝔓$^{75}$ℵA,B,D [6.5%] OC,NU
[u] επιζητει **f**$^{35}$ C,D,W [95%] CP,HF,RP,TR ¦ ζητει 𝔓$^{45v,75}$ℵA,B [5%] OC,NU
[v] του προφητου **f**$^{35}$ A,C,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,D [1%] NU
[w] σημειον τοις νινευιταις **f**$^{35}$ (𝔓$^{45v}$)A(D)(W) [86%] CP,HF,RP,TR,OC ¦ 12 νηνευιταις [12%] ¦ ~ 231 C [1.5%] NU ¦ ~ 2 νινευειταις 1 𝔓$^{75}$ℵB
[x] ταυτη *rell* ¦ 1 σημειον [1.5%] OC
[y] σολομωνος **f**$^{35}$ 𝔓$^{45,75}$ℵA,B,D [72%] CP,HF,RP,NU ¦ σολομονος [8%] ¦ σολομωντος C,W [19%] TR,OC ¦ five other spellings [1%]
[z] σολομωνος **f**$^{35}$ 𝔓$^{45,75}$ℵA,B,D,W [70%] CP,HF,RP,NU ¦ σολομονος [10%] ¦ σολομωντος C [20%] TR,OC ¦ three other spellings [0.5%]
[a] νινευι **f**$^{35}$ [32%] CP,RP,TR,OC ¦ νινευη [16%] HF ¦ νηνευι [2%] ¦ νινευιται A,C [35%] NU ¦ νηνευιται [6%] ¦ νινευηται [3.5%] ¦ νινευειται 𝔓$^{45,75}$ℵB,W ¦ seven other spellings [5%] (D omits verse)
[b] δε **f**$^{35}$ A,W [88%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,C,D [12%] NU
[c] κρυπτην **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,C,D,W [85%] CP,HF,RP,OC,NU ¦ κρυπτον 𝔓$^{45}$ [15%] TR
[d] ουδε υπο τον μοδιον **f**$^{35}$ ℵA,B,C,D,W [97.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{45,75}$ [2.5%]
[e] φεγγος **f**$^{35}$ 𝔓$^{45}$A,W [90%] CP,HF,RP,TR,OC ¦ φως 𝔓$^{75}$ℵB,C,D [10%] NU
[f] οφθαλμος **f**$^{35}$ [98%] CP,HF,RP,TR,OC ¦ 1 σου 𝔓$^{45,75}$ℵA,B,C,D,W [2%] NU
[g] ουν **f**$^{35}$ A,C [94%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,D,W [6%] NU
[h] η **f**$^{35}$ C,D [35%] CP ¦ 1 και 𝔓$^{45,75}$ℵA,B,W [65%] HF,RP,TR,OC,NU

φωτεινόν[i] ἐστιν.[j] Ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν.[k] **35** Σκόπει οὖν μὴ
τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν. **36** Εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινόν, μὴ ἔχον τι
μέρος[l] σκοτεινόν, ἔσται φωτεινὸν ὅλον, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.»

### *Jesus derides scribes and Pharisees*

**37** Ἐν δὲ τῷ λαλῆσαι,[m] ἠρώτα[n] αὐτὸν Φαρισαῖός τις[o] ὅπως ἀριστήσῃ παρ᾽ αὐτῷ.
Εἰσελθὼν δὲ ἀνέπεσεν. **38** Ὁ δὲ Φαρισαῖος, ἰδών, ἐθαύμασεν ὅτι οὐ πρῶτον
ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου. **39** Εἶπεν δὲ ὁ Κύριος πρὸς αὐτόν· «Νῦν ὑμεῖς οἱ
Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν
γέμει ἁρπαγῆς καὶ πονηρίας. **40** Ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν
ἐποίησεν; **41** Πλήν, τὰ ἐνόντα δότε ἐλεημοσύνην· καὶ ἰδού, πάντα[p] καθαρὰ ὑμῖν
ἐστιν.[q]

**42** »Ἀλλ᾽[r] οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ
πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ.
Ταῦτα[s] ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι.[t] **43** Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε
τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς.
**44** Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί,[u] ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ
ἄδηλα, καὶ οἱ ἄνθρωποι[v] περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν.»

### *Jesus derides lawyers*

**45** Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ, «Διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς
ὑβρίζεις.» **46** Ὁ δὲ εἶπεν· «Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους
φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς
φορτίοις. **47** Οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες
ὑμῶν ἀπέκτειναν αὐτούς. **48** Ἄρα μαρτυρεῖτε[w] καὶ συνευδοκεῖτε τοῖς ἔργοις τῶν
πατέρων ὑμῶν· ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ
μνημεῖα.[x] **49** Διὰ τοῦτο καὶ ‹ἡ σοφία τοῦ Θεοῦ› εἶπεν· ‹Ἀποστελῶ εἰς αὐτοὺς
προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσιν καὶ ἐκδιώξουσιν,›[y] **50** ἵνα

---

[i] φωτεινον *rell* ¦ φωτινον 𝔓75ℵA,C,D,W [18%]
[j] εστιν *rell* ¦ εσται 𝔓45 [15%]
[k] σκοτεινον *rell* ¦ 1 εστιν D [4.5%] ¦ 1 εσται 𝔓45 [24%]
[l] τι μερος f35 ℵ [81%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓75A,B,W [17%] NU ¦ 2 C [1.5%] ¦ ~ μελος 1 𝔓45 (D omits verse)
[m] λαλησαι *rell* ¦ 1 αυτον ταυτα [6.5%] OC ¦ 1 αυτον A [1%]
[n] ηρωτα f35 𝔓45C [93%] CP,HF,RP,TR,OC ¦ ερωτα 𝔓75ℵA,B,W [7%] NU ¦ --- D
[o] τις f35 A,C(D)W [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓45,75ℵB [2%] NU
[p] παντα *rell* ¦ απαντα 𝔓75 [3%] OC
[q] εστιν *rell* ¦ εσται 𝔓45 [7.5%] OC
[r] αλλ f35 A,C [65%] CP,HF,RP,TR,OC ¦ αλλα 𝔓45,75ℵB,D,W [35%] NU
[s] ταυτα f35 ℵA(D)W [85%] CP,HF,RP,TR ¦ 1 δε 𝔓45,75B,C [15%] OC,NU
[t] αφιεναι f35 C,W [97%] CP,HF,RP,TR,OC ¦ αφειναι 𝔓45ℵ [1.5%] ¦ παρειναι 𝔓75B [1%] NU ¦ παραφιεναι A ¦ --- (D)
[u] γραμματεις και φαρισαιοι υποκριται f35 A,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓45,75ℵB,C [1%] NU ¦ 123 D
[v] ανθρωποι f35 𝔓75A(D)W [95%] CP,HF,RP,OC ¦ 1 οι ℵB,C [5%] TR[NU]
[w] μαρτυρειτε f35 𝔓75A,C,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ μαρτυρες εστε ℵB [0.5%] NU
[x] αυτων τα μνημεια f35 A,C,W (96.4%) CP,HF,RP,TR,OC ¦ 12 μνηματα (0.3%) ¦ ~ 231 (1%) ¦ ~ 213 (0.3%) ¦ ~ τους ταφους 1 (1.1%) ¦ --- 𝔓75ℵB,D (0.6%) NU ¦ two other variants (0.2%)
[y] εκδιωξουσιν f35 A,D,W [87%] CP,HF,RP,TR,OC ¦ διωξουσιν 𝔓75ℵB,C [13%] NU

ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκχυνόμενον[z] ἀπὸ καταβολῆς κόσμου
ἀπὸ τῆς γενεᾶς ταύτης, **51** ἀπὸ τοῦ[a] αἵματος Ἄβελ[b] ἕως τοῦ[c] αἵματος Ζαχαρίου, τοῦ
ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου. Ναί, λέγω ὑμῖν, ἐκζητηθήσεται
ἀπὸ τῆς γενεᾶς ταύτης. **52** Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς
γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε,[d] καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε.»

**53** Λέγοντος δὲ αὐτοῦ ταῦτα πρὸς αὐτούς,[e] ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ
Φαρισαῖοι δεινῶς συνέχειν[f] καὶ ἀποστοματίζειν[g] αὐτὸν περὶ πλειόνων,
**54** ἐνεδρεύοντες αὐτόν, ζητοῦντες[h] θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα
κατηγορήσωσιν αὐτοῦ.[i]

### *Beware of hypocrisy*

**12:1** Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου, ὥστε[j] καταπατεῖν
ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον· «Προσέχετε ἑαυτοῖς ἀπὸ
τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις.[k] **2** Οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν
ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. **3** Ἀνθ᾽ ὧν ὅσα ἐν τῇ σκοτίᾳ
εἴπατε ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις[l]
κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

### *Don't fear assassins*

**4** »Λέγω δὲ ὑμῖν, τοῖς φίλοις μου· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων[m] τὸ σῶμα
καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν[n] τι ποιῆσαι. **5** Ὑποδείξω δὲ ὑμῖν τίνα
φοβηθῆτε—φοβήθητε τὸν μετὰ τὸ ἀποκτεῖναι ἐξουσίαν ἔχοντα[o] ἐμβαλεῖν εἰς τὴν
Γέενναν· ναί, λέγω ὑμῖν, τοῦτον φοβήθητε. **6** Οὐχὶ πέντε στρουθία πωλεῖται[p]
ἀσσαρίων δύο; Καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπιλελησμένον ἐνώπιον τοῦ Θεοῦ. **7** Ἀλλὰ

---

[z] εκχυνομενον **f**$^{35}$ 𝔓$^{75}$ [94%] CP,HF,RP,TR,OC ¦ εκχυννομενον ℵA,C,D,W [5%] ¦ εκκεχυμενον 𝔓$^{45v}$B [1%] NU

[a] του **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,C,D [1%] NU

[b] αβελ *rell* ¦ 1 του δικαιου [22%]

[c] του **f**$^{35}$ A,C,W [97.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D [2.5%] NU

[d] εισηλθετε **f**$^{35}$ [92%] CP,HF,RP,TR,OC ¦ εισηλθατε 𝔓$^{45,75}$ℵA,B,C,D,W [8%] NU

[e] λεγοντος δε αυτου ταυτα προς αυτους **f**$^{35}$ A(D)W [98%] CP,HF,RP,TR ¦ ~ 123564 [1%] OC ¦ κακειθεν εξελθοντος (εξελθοντες 𝔓$^{75}$) αυτου 𝔓$^{45v(75)}$ℵB,C [1%] NU

[f] συνεχειν **f**$^{35}$ [26%] CP ¦ ενεχειν 𝔓$^{75}$ℵA,B,W [70%] HF,RP,TR,OC,NU ¦ εχειν 𝔓$^{45}$D [2.5%] ¦ επεχειν C ¦ --- [1%]

[g] αποστοματιζειν *rell* ¦ αποστομιζειν [15%]

[h] αυτον ζητουντες **f**$^{35}$ A,C,W [90%] CP,HF,RP,OC ¦ αυτω 2 [3%] ¦ 1 και 2 [6%] TR ¦ 1 𝔓$^{45,75}$B [1%] NU ¦ 2 (D) ¦ --- ℵ

[i] ινα κατηγορησωσιν αυτου **f**$^{35}$ C [96.5%] CP,HF,RP,TR,OC ¦ 1 κατηγορησουσιν 3 A,W [2%] ¦ 1 ευρωσιν κατηγορησαι 3 D ¦ --- 𝔓$^{45,75}$ℵB [1.5%] NU

[j] ωστε *rell* ¦ ως [1%] OC

[k] των φαρισαιων ητις εστιν υποκρισις **f**$^{35}$ 𝔓$^{45}$ℵA,C,D,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 34512 𝔓$^{75}$B [0.3%] NU

[l] ταμειοις *rell* ¦ ταμιειοις [14%] CP ¦ ταμιοις ℵA,W [5%]

[m] αποκτενοντων **f**$^{35}$ D,W [68%] CP,HF,RP ¦ αποκτεννοντων ℵA [23%] OC ¦ αποκτεινοντων 𝔓$^{45,75}$B [9%] TR,NU

[n] περισσοτερον *rell* ¦ περισσον A,D [10%]

[o] εξουσιαν εχοντα **f**$^{35}$ 𝔓$^{45}$ [83%] CP,HF,RP,TR ¦ ~ 21 𝔓$^{75}$ℵA,B,D,W [17%] OC,NU

[p] πωλειται **f**$^{35}$ 𝔓$^{45}$D,W [94.5%] CP,HF,RP,TR,OC ¦ πωλειτε A [4%] ¦ πωλουνται 𝔓$^{75}$ℵB [1.5%] NU

καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται. Μὴ οὖν[q] φοβεῖσθε· πολλῶ[r] στρουθίων διαφέρετε.[s]

### *You confess Christ, He'll confess you!*

**8** »Λέγω δὲ ὑμῖν, πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ[t] ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ. **9** Ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. **10** Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ Ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. **11** Ὅταν δὲ προσφέρωσιν[u] ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε[v] πῶς ἢ τί ἀπολογήσεσθε,[w] ἢ τί εἴπητε. **12** Τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.»

### *Beware of materialism*

**13** Εἶπεν δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου,[x] «Διδάσκαλε, εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι μετ᾽ ἐμοῦ τὴν κληρονομίαν.»[y] **14** Ὁ δὲ εἶπεν αὐτῷ, «Ἄνθρωπε, τίς με κατέστησεν δικαστὴν ἢ μεριστὴν[z] ἐφ᾽ ὑμᾶς;» **15** Εἶπεν δὲ πρὸς αὐτούς, «Ὁρᾶτε καὶ φυλάσσεσθε ἀπὸ τῆς[a] πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ[b] ἐστιν ἐκ τῶν ὑπαρχόντων αὐτοῦ.»[c]

### Parable of a rich fool

**16** Εἶπεν δὲ παραβολὴν πρὸς αὐτοὺς λέγων· «Ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα. **17** Καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων, ‹Τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου;› **18** Καὶ εἶπεν· ‹Τοῦτο ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ γενήματά[d] μου[e] καὶ τὰ ἀγαθά μου. **19** Καὶ ἐρῶ τῇ ψυχῇ μου· Ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐφραίνου.› **20** Εἶπεν δὲ αὐτῷ ὁ Θεός· ‹Ἄφρον,[f] ταύτῃ τῇ νυκτὶ

---

[q] ουν **f**$^{35}$ ℵA,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$B [1%] NU
[r] πολλω **f**$^{35}$ [15%] CP ¦ πολλων 𝔓$^{45,75}$ℵA,B(D)Q,W [85%] HF,RP,TR,OC,NU
[s] διαφερετε **f**$^{35}$ 𝔓$^{45,75}$ℵA,B,Q,W [84%] HF,RP,TR,OC,NU ¦ 1 υμεις D [16%] CP
[t] αυτω *rell* ¦ εαυτω CP
[u] προσφερωσιν **f**$^{35}$ A,Q,W [92%] CP,HF,RP,TR,OC ¦ εισφερωσιν 𝔓$^{45(75)}$ℵB [3.5%] NU ¦ προσφερουσιν [4.5%] ¦ φερωσιν D
[v] μεριμνατε **f**$^{35}$ A,W [94%] CP,HF,RP,TR,OC ¦ μεριμνησητε ℵB,Q [6%] NU ¦ προσμεριμνατε D ¦ μεριμνη μη μεριμνησητε 𝔓$^{75}$
[w] απολογησεσθε **f**$^{35}$ [35%] CP ¦ απολογησησθε 𝔓$^{45v,75}$ℵA,B,D,N,Q [63%] HF,RP,TR,OC,NU ¦ απολογησασθε [1.5%] ¦ απολογησεσθαι W
[x] αυτω εκ του οχλου **f**$^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2341 𝔓$^{75}$ℵB,Q [1%] NU
[y] μετ εμου την κληρονομιαν *rell* ¦ ~ 3412 [2%] OC
[z] δικαστην η μεριστην **f**$^{35}$ A,N,Q,W (93.7%) CP,HF,RP,TR,OC ¦ ~ 321 (1.5%) ¦ κριτην 23 𝔓$^{75}$ℵB (2.1%) NU ¦ αρχοντα και 3 (1%) ¦ αρχοντα και 1 (0.2%) ¦ αρχοντα και 123 (0.7%) ¦ 1 (0.7%) ¦ κριτην D ¦ four other variants (0.2%)
[a] της **f**$^{35}$ [78%] CP,HF,RP,TR ¦ πασης 𝔓$^{75}$ℵA,B,D,N,Q,W [22%] OC,NU
[b] αυτου **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,Q [60%] CP,TR,OC,NU ¦ αυτω [40%] HF,RP ¦ αυτων W ¦ --- D,N
[c] αυτου **f**$^{35}$ ℵA,N [88%] CP,HF,RP,TR,OC ¦ αυτω 𝔓$^{75}$B,D,Q [12%] NU ¦ αυτων W
[d] τα γενηματα **f**$^{35}$ ℵA,D,N,Q,W [91%] CP,HF,RP,TR,OC ¦ 1 γεννηματα [7%] some TRs ¦ τον σιτον 𝔓$^{75}$(B) [2%] NU
[e] μου **f**$^{35}$ 𝔓$^{75}$ℵA,D,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- B [1%] NU
[f] αφρον **f**$^{35}$ [70%] CP,HF,RP,OC ¦ αφρων 𝔓$^{75}$ℵA,B,D,N,Q,W [30%] TR,NU

τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας, τίνι ἔσται;› **21** Οὕτως ὁ
θησαυρίζων ἑαυτῷ καὶ μὴ εἰς Θεὸν πλουτῶν.»[g]

The mentality of the Kingdom

**22** Εἶπεν δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ·[h] «Διὰ τοῦτο λέγω ὑμῖν,[i] μὴ μεριμνᾶτε τῇ
ψυχῇ ὑμῶν,[j] τί φάγητε· μηδὲ τῷ σώματι,[k] τί ἐνδύσεσθε.[l] **23** Ἡ[m] ψυχὴ πλείων[n] ἐστιν
τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος. **24** Κατανοήσατε τοὺς κόρακας· ὅτι οὐ
σπείρουσιν οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστιν ταμεῖον[o] οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει
αὐτούς. Πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν; **25** Τίς δὲ ἐξ ὑμῶν μεριμνῶν
δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ[p] πῆχυν ἕνα;[q] **26** Εἰ οὖν οὔτε[r] ἐλάχιστον
δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε;

**27** »Κατανοήσατε τὰ κρίνα, πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει· λέγω[s] ὑμῖν,[t] οὐδὲ
Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. **28** Εἰ δὲ τὸν χόρτον ἐν
τῷ ἀγρῷ σήμερον ὄντα[u] καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως
ἀμφιέννυσιν,[v] πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; **29** Καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ[w]
τί πίητε, καὶ μὴ μετεωρίζεσθε. **30** Ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ,[x]
ὑμῶν δὲ ὁ Πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων. **31** Πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ
Θεοῦ,[y] καὶ ταῦτα πάντα[z] προστεθήσεται ὑμῖν.

**32** »Μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ Πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν
βασιλείαν. **33** Πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε ἐλεημοσύνην. Ποιήσατε
ἑαυτοῖς βαλάντια[a] μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου
κλέπτης οὐκ ἐγγίζει, οὐδὲ σὴς διαφθείρει. **34** Ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ
καὶ ἡ καρδία ὑμῶν ἔσται.

---

[g] πλουτων *rell* ¦ 1 ταυτα λεγων εφωνει ο εχων ωτα ακουειν ακουετω [35%]
[h] αυτου **f**$^{35}$ ℵA,D,Q,W [99.8%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{75}$B [0.2%]
[i] λεγω υμιν **f**$^{35}$ 𝔓$^{75}$ℵB,D [28%] OC,NU ¦ ~ 21 A,Q,W [72%] CP,HF,RP,TR
[j] υμων **f**$^{35}$ 𝔓$^{45}$(B) [94.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,Q,W [3.5%] NU ¦ ημων [2%]
[k] σωματι *rell* ¦ 1 υμων [8.5%] OC
[l] ενδυσεσθε **f**$^{35}$ [25%] ¦ ενδυσησθε 𝔓$^{45,75}$ℵA,B,D,Q [74%] CP,HF,RP,TR,OC,NU ¦ ενδυσησθαι W [1%]
[m] η **f**$^{35}$ 𝔓$^{45}$A,W [76%] CP,HF,RP,TR ¦ 1 γαρ 𝔓$^{75}$ℵB,D,Q [17%] NU ¦ ουχι 1 [7%] OC
[n] πλειων **f**$^{35}$ [23%] ¦ πλειον 𝔓$^{45,75}$ℵA,B,Q,W [77%] CP,HF,RP,TR,OC,NU ¦ πλεον D
[o] ταμειον *rell* ¦ ταμιειον [25%]
[p] προσθειναι (προσθηναι 38%) επι την ηλικιαν αυτου **f**$^{35}$ 𝔓$^{45}$ℵA,D,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ ~ 23451 𝔓$^{75}$B [0.2%] NU
[q] ενα **f**$^{35}$ A,Q,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,D,NU
[r] ουτε **f**$^{35}$ A,W [96.5%] CP,HF,RP,TR,OC ¦ ουδε 𝔓$^{45,75}$ℵB,Q [3.5%] NU ¦ --- (D)
[s] λεγω **f**$^{35}$ 𝔓$^{45}$ [20%] ¦ 1 δε 𝔓$^{75}$ℵA,B,Q,W [80%] CP,HF,RP,TR,OC,NU
[t] υμιν *rell* ¦ 1 οτι ℵA,D [19%]
[u] τον χορτον εν τω αγρω σημερον οντα **f**$^{35}$ [68%] CP,HF,RP,TR ¦ ~ 126347 [11%] ¦ ~ 126357 A,W [8%] ¦ ~ 123576 [2%] ¦ ~ 351276 𝔓$^{75}$ℵB [0.5%] NU ¦ ~ 356127 𝔓$^{45}$ ¦ 12 του αγρου 67 D [10%] OC ¦ several other variants
[v] αμφιεννυσιν **f**$^{35}$ ℵA,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ αμφιεζει 𝔓$^{45,75}$D [0.5%] NU ¦ αμφιαζει B
[w] η **f**$^{35}$ 𝔓$^{75}$A,D,W [95%] CP,HF,RP,TR ¦ και 𝔓$^{45}$ℵB,Q [5%] OC,NU
[x] επιζητει **f**$^{35}$ 𝔓$^{45}$A,N,Q [98.5%] CP,HF,RP,TR,OC ¦ επιζητουσιν 𝔓$^{75}$ℵB(W) [1.5%] NU ¦ ζητει D
[y] του θεου **f**$^{35}$ 𝔓$^{45}$A,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ αυτου ℵB,D [0.5%] NU ¦ --- 𝔓$^{75}$
[z] παντα **f**$^{35}$ A,D,N [72%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,Q(W) [28%] NU
[a] βαλαντια **f**$^{35}$ [72%] CP,HF,RP,TR ¦ βαλλαντια 𝔓$^{45,75}$ℵA,B,D,N,Q,W [28%] OC,NU

### *Watchfulness enjoined*

**35** »Ἔστωσαν ὑμῶν αἱ ὀσφύες[b] περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι, **36** καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον ἑαυτῶν,[c] πότε ἀναλύσει[d] ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ. **37** Μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας. Ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. **38** Καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ, καὶ[e] ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ, καὶ εὕρῃ οὕτως, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι.[f] **39** Τοῦτο δὲ γινώσκετε, ὅτι εἰ ᾔδει[g] ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν, καὶ[h] οὐκ ἂν[i] ἀφῆκεν διορυγῆναι[j] τὸν οἶκον αὐτοῦ. **40** Καὶ ὑμεῖς οὖν[k] γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἔρχεται.»

**41** Εἶπεν δὲ αὐτῷ[l] ὁ Πέτρος, «Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις, ἢ καὶ πρὸς πάντας;» **42** Εἶπεν δὲ[m] ὁ Κύριος· «Τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ[n] φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ, τοῦ διδόναι ἐν καιρῷ τὸ[o] σιτομέτριον; **43** Μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως.[p] **44** Ἀληθῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσιν τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. **45** Ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, ‹Χρονίζει ὁ κύριός μου ἔρχεσθαι,›[q] καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι, **46** ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτὸν καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει.

**47** »Ἐκεῖνος δὲ ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ,[r] καὶ μὴ ἑτοιμάσας μηδὲ[s] ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς. **48** Ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. Παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ’ αὐτοῦ· καὶ ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσιν αὐτόν.

---

[b] υμων αι οσφυες *rell* ¦ ~ 231 A,N,Q [16%] ¦ 1 η 3 D

[c] εαυτων *rell* ¦ αυτων D,W [10%]

[d] αναλυσει **f**$^{35}$ [87%] CP,HF,TR,OC ¦ αναλυση 𝔓$^{75}$אA,B,D,N,Q,W [13%] RP,NU

[e] και εαν ελθη εν τη δευτερα φυλακη και **f**$^{35}$ A,N,Q [97%] CP,HF,RP,TR,OC ¦ 1235 εσπερινη 78 D ¦ καν 456 καν 𝔓$^{75}$אB [1%] NU ¦ 12 W ¦ at least seven other variants

[f] οι δουλοι εκεινοι **f**$^{35}$ A,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ 3 𝔓$^{75}$B,D [0.3%] NU ¦ --- א

[g] ηδει *rell* ¦ ηδη N [16%] ¦ two other variants

[h] εγρηγορησεν αν και **f**$^{35}$ A,B,N,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- [0.2%] 𝔓$^{75}$א(D)NU

[i] αν *rell* ¦ --- B,W [19%] CP

[j] διορυγηναι **f**$^{35}$ A,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ διορυχθηναι 𝔓$^{75}$אB [1%] NU ¦ --- (D)

[k] ουν **f**$^{35}$ A,N,W (97.9%) CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,Q (1.6%) NU ¦ omit vs 40 (0.4%) ¦ δε D

[l] αυτω **f**$^{35}$ אA,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$B(D) [2%] NU

[m] ειπεν δε **f**$^{35}$ A,N,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ και 1 𝔓$^{75}$אB,D [2.5%] NU

[n] και **f**$^{35}$ אA [74%] CP,HF,RP,TR,OC ¦ ο 𝔓$^{75}$B,D,N,Q,W [22%] NU ¦ --- [4%]

[o] το **f**$^{35}$ אA,N,Q,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{75}$B,D [1%]

[p] ποιουντα ουτως *rell* ¦ ~ 21 𝔓$^{45,75}$א [2.5%] OC

[q] ερχεσθαι *rell* ¦ ελθειν [16%]

[r] αυτου **f**$^{35}$ 𝔓$^{45,75}$אB,D,W [47%] CP,NU ¦ εαυτου A,N [53%] HF,RP,TR,OC

[s] μηδε **f**$^{35}$ A,N [95%] CP,HF,RP,TR,OC ¦ η 𝔓$^{75}$אB [2.5%] NU ¦ --- (𝔓$^{45}$D)(W) [2.5%]

### *Christ causes division*

**49** »Πῦρ ἦλθον βαλεῖν εἰς[t] τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; **50** Βάπτισμα δὲ
ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ[u] τελεσθῇ. **51** Δοκεῖτε ὅτι εἰρήνην
παρεγενόμην δοῦναι ἐν τῇ γῇ; Οὐχί, λέγω ὑμῖν, ἀλλ᾽ ἢ διαμερισμόν. **52** Ἔσονται γὰρ
ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ[v] διαμεμερισμένοι· τρεῖς ἐπὶ δυσὶν καὶ δύο ἐπὶ τρισίν.
**53** Διαμερισθήσεται[w] πατὴρ ἐπὶ[x] υἱῷ καὶ υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ θυγατρὶ[y] καὶ
θυγάτηρ ἐπὶ μητρί,[z] πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς καὶ νύμφη ἐπὶ τὴν πενθερὰν
αὐτῆς.»[a]

### *Discern the time*

**54** Ἔλεγεν δὲ καὶ τοῖς ὄχλοις· «Ὅταν ἴδητε τὴν[b] νεφέλην ἀνατέλλουσαν ἀπὸ[c]
δυσμῶν, εὐθέως λέγετε,[d] ‹Ὄμβρος ἔρχεται,› καὶ γίνεται οὕτως. **55** Καὶ ὅταν νότον
πνέοντα, λέγετε ὅτι ‹Καύσων ἔσται,› καὶ γίνεται. **56** Ὑποκριταί, τὸ πρόσωπον τοῦ
οὐρανοῦ καὶ τῆς γῆς[e] οἴδατε δοκιμάζειν, τὸν δὲ καιρὸν[f] τοῦτον πῶς οὐ δοκιμάζετε;[g]
**57** Τί δέ, καὶ ἀφ᾽ ἑαυτῶν, οὐ κρίνετε τὸ δίκαιον;

### *Pay your debts on time!*

**58** »Ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου ἐπ᾽ ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν
ἀπηλλάχθαι ἀπ᾽ αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς τὸν κριτήν, καὶ ὁ κριτής σε
παραδῷ[h] τῷ πράκτορι, καὶ ὁ πράκτωρ βάλῃ[i] σε[j] εἰς φυλακήν. **59** Λέγω σοι, οὐ μὴ
ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ[k] καὶ τὸ[l] ἔσχατον λεπτὸν ἀποδῷς.»

### *Repent or perish*

**13:1** Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν
Γαλιλαίων ὧν τὸ αἷμα Πιλᾶτος ἔμιξεν μετὰ τῶν θυσιῶν αὐτῶν. **2** Καὶ ἀποκριθεὶς ὁ
Ἰησοῦς[m] εἶπεν αὐτοῖς· «Δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς

---

[t] εις **f**[35] 𝔓[45]D [75%] CP,HF,RP,TR ¦ επι 𝔓[75]אA,B,N,W [25%] OC,NU
[u] ου **f**[35] [79%] CP,HF,RP,TR,OC ¦ οτου 𝔓[45,75]אA,B,D,N [21%] NU ¦ --- W
[v] οικω ενι **f**[35] 𝔓[45]A,N,W [98.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓[75]B,D [1.3%] NU ¦ --- (א)
[w] διαμερισθησεται **f**[35] A,N,W [97%] CP,HF,RP,TR ¦ διαμερισθησονται 𝔓[45,75]אB,D [3%] OC,NU
[x] επι *rell* ¦ εφ A,D [20%] TR
[y] θυγατρι **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ την θυγατερα 𝔓[45,75] [1.5%] NU ¦ θυγατερα אB,D [0.5%]
[z] μητρι **f**[35] A,N [98%] CP,HF,RP,TR,OC ¦ την μητερα 𝔓[45,75]B,D [1.5%] NU ¦ μητερα א [0.5%] ¦ --- (W)
[a] αυτης **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[45,75]אB,D [1%] NU
[b] την **f**[35] 𝔓[45] D,W [95.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓[75]אA,B,N [4.5%]
[c] απο **f**[35] 𝔓[45]A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ επι 𝔓[75]אB [0.5%] NU
[d] λεγετε **f**[35] D [82%] CP,HF,RP,TR,OC ¦ 1 οτι 𝔓[45,75]B [12%] NU ¦ λεγεται W [5%] ¦ λεγεται οτι אA,N [1%]
[e] του ουρανου και της γης **f**[35] 𝔓[45,75]D,N [40%] CP,OC ¦ ~ 45312 אA,B,W [60%] HF,RP,TR,NU
[f] τον δε καιρον **f**[35] אA,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 132 𝔓[75]B [0.2%] NU ¦ πλην 13 𝔓[45]D [0.2%] ¦ one other variant
[g] ου δοκιμαζετε **f**[35] 𝔓[45]A(D) (94.7%) CP,HF,RP,TR,OC ¦ 1 δοκιμαζεται N,W (3.9%) ¦ 2 (0.4%) ¦ ουκ οιδατε δοκιμαζειν 𝔓[75]אB (0.8%) NU ¦ three other readings (0.2%)
[h] παραδω **f**[35] N,W [98.5%] CP,HF,RP,TR,OC ¦ παραδωσει (𝔓[45])אA,B(D) [1.5%] NU ¦ παραδοσει 𝔓[75]
[i] βαλη **f**[35] A,N,W [80%] CP,HF,RP ¦ βαλλη [5%] TR ¦ βαλει 𝔓[75]אB,D [10%] OC,NU ¦ βαλλει [5%]
[j] βαλη σε **f**[35] D [24%] CP ¦ ~ 21 𝔓[75]אA,B,N,W [76%] HF,RP,TR,OC,NU
[k] ου **f**[35] D,N,W [99%] CP,HF,RP,TR,OC ¦ του A ¦ --- 𝔓[75]אB [1%] NU
[l] το **f**[35] 𝔓[75]אB,N,W [60%] TR,OC,NU ¦ τον A(D) [40%] CP,HF,RP
[m] ο ιησους **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB [0.5%] NU

Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα[n] πεπόνθασιν; **3** Οὐχί, λέγω ὑμῖν· ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε[o] πάντες ὡσαύτως[p] ἀπολεῖσθε. **4** Ἢ ἐκεῖνοι οἱ δέκα καὶ[q] ὀκτὼ ἐφ᾽ οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς· δοκεῖτε ὅτι οὗτοι[r] ὀφειλέται ἐγένοντο παρὰ πάντας[s] ἀνθρώπους τοὺς κατοικοῦντας ἐν[t] Ἱερουσαλήμ; **5** Οὐχί, λέγω ὑμῖν· ἀλλ᾽ ἐὰν μὴ μετανοῆτε[u] πάντες ὁμοίως[v] ἀπολεῖσθε.»

*Parable of a barren fig tree*

**6** Ἔλεγεν δὲ ταύτην τὴν παραβολήν· «Συκῆν εἶχέν τις[w] ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην,[x] καὶ ἦλθεν ζητῶν καρπὸν[y] ἐν αὐτῇ καὶ οὐχ εὗρεν. **7** Εἶπεν δὲ πρὸς τὸν ἀμπελουργόν· ‹Ἰδού, τρία ἔτη[z] ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ καὶ οὐχ εὑρίσκω. Ἔκκοψον[a] αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ;›[b] **8** Ὁ δὲ ἀποκριθεὶς λέγει[c] αὐτῷ, ‹Κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κόπρια,[d] **9** κἂν μὲν ποιήσῃ[e] καρπόν—εἰ δὲ μήγε, εἰς τὸ μέλλον[f] ἐκκόψεις[g] αὐτήν.› »

*Jesus heals a woman bound by Satan*

**10** Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασιν. **11** Καὶ ἰδού, γυνὴ ἦν[h] πνεῦμα ἔχουσα ἀσθενείας[i] ἔτη δέκα καὶ[j] ὀκτώ—καὶ ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακῦψαι εἰς τὸ παντελές. **12** Ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησεν καὶ εἶπεν αὐτῇ, «Γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου.» **13** Καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας, καὶ παραχρῆμα ἀνωρθώθη,[k] καὶ ἐδόξαζεν τὸν Θεόν.

---

[n] τοιαυτα **f**$^{35}$ 𝔓$^{75}$A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ ταυτα ℵB,D [2.5%] NU

[o] μετανοητε **f**$^{35}$ 𝔓$^{75}$ℵB,N,W [63%] CP,HF,RP,TR,OC,NU ¦ μετανοησητε A,D [13%] ¦ μετανοειτε [22%] ¦ μετανοησετε [2%]

[p] ωσαυτως **f**$^{35}$ A,N,W [95%] CP,HF,RP,TR,OC ¦ ομοιως 𝔓$^{75}$ℵB,D [5%] NU

[q] και **f**$^{35}$ A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D [1.5%] NU

[r] ουτοι **f**$^{35}$ N [81.5%] CP,HF,RP,TR,OC ¦ αυτοι 𝔓$^{75}$ℵA,B,W [18%] NU ¦ --- D [0.2%] ¦ one other variant

[s] παντας **f**$^{35}$ (N)W [90%] CP,HF,RP,TR ¦ 1 τους 𝔓$^{75}$ℵA,B,D [10%] OC,NU

[t] εν **f**$^{35}$ ℵA,N,W [92%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$B,D [8%] NU

[u] μετανοητε **f**$^{35}$ 𝔓$^{75}$B,N,W [62%] CP,HF,RP,TR,NU ¦ μετανοειτε W [16%] ¦ μετανοησητε ℵA,D [21%] OC ¦ μετανοησετε [1%] ¦ μετανοηται [0.5%]

[v] ομοιως **f**$^{35}$ 𝔓$^{75}$A,D,N,W [94%] CP,HF,RP,TR,OC ¦ ωσαυτως ℵB [6%] NU

[w] ειχεν τις *rell* ¦ ~ 21 D [13%]

[x] εν τω αμπελωνι αυτου πεφυτευμενην **f**$^{35}$ A,N [94%] CP,HF,RP,TR,OC ¦ ~ 51234 𝔓$^{75}$B,D,W [6%] NU ¦ ~ 5134 ℵ

[y] ζητων καρπον *rell* ¦ ~ 21 [0.5%] TR

[z] ετη **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,TR,OC ¦ 1 αφ ου 𝔓$^{75}$ℵB,D [2%] NU

[a] εκκοψον **f**$^{35}$ ℵB,D,N,W [92%] CP,HF,RP,TR,OC ¦ 1 ουν 𝔓$^{75}$A [8%] [NU]

[b] καταργει *rell* ¦ καταργη [25%]

[c] λεγει *rell* ¦ ειπεν [3%] OC

[d] κοπρια **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,N,W [87%] CP,HF,RP,OC,NU ¦ κοπριαν [12%] TR ¦ κοπρον [1%] ¦ κοφινον κοπριων D

[e] ποιηση **f**$^{35}$ 𝔓$^{45,75}$ℵA,B,D,N,W [80%] CP,HF,RP,TR,OC,NU ¦ ποιησει [20%]

[f] ει δε μηγε εις το μελλον **f**$^{35}$ 𝔓$^{45v}$A,D,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 456123 𝔓$^{75}$ℵB [2.5%] NU

[g] εκκοψεις *rell* ¦ εκκοψης [14%]

[h] ην **f**$^{35}$ A(D)(W) [98%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,N [2%] NU

[i] ασθενειας *rell* ¦ ασθενιας CP ¦ ασθενεια (D)

[j] και **f**$^{35}$ A,N [98%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,W [2%] NU ¦ ιη 𝔓$^{45,75}$

[k] ανωρθωθη **f**$^{35}$ ℵN,W [59%] CP,HF,RP,TR,OC,NU ¦ ανορθωθη 𝔓$^{75}$A,B,D [40%] ¦ ιαθη [1%]

**14** Ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ[1] σαββάτῳ ἐθεράπευσεν ὁ
Ἰησοῦς, ἔλεγεν τῷ ὄχλῳ,[m] «Ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις[n] οὖν
ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου.» **15** Ἀπεκρίθη οὖν[o] αὐτῷ ὁ
Κύριος καὶ εἶπεν· «Ὑποκριταί,[p] ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ
τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει; **16** Ταύτην δέ, θυγατέρα Ἀβραὰμ
οὖσαν, ἣν ἔδησεν ὁ Σατανᾶς, ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ
δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου;» **17** Καὶ ταῦτα λέγοντος αὐτοῦ,
κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ· καὶ πᾶς ὁ ὄχλος ἔχαιρεν ἐπὶ πᾶσιν τοῖς
ἐνδόξοις τοῖς γινομένοις ὑπ᾽ αὐτοῦ.

*Two parables*

**18** Ἔλεγεν δέ·[q] «Τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν;
**19** Ὁμοία ἐστὶν κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ,[r] καὶ
ηὔξησεν καὶ ἐγένετο εἰς δένδρον μέγα,[s] καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν
τοῖς κλάδοις αὐτοῦ.»

**20** Πάλιν[t] εἶπεν· «Τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; **21** Ὁμοία ἐστὶν ζύμῃ, ἣν
λαβοῦσα γυνὴ ἔκρυψεν[u] εἰς ἀλεύρου σάτα τρία ἕως οὗ ἐζυμώθη ὅλον.»

*The narrow gate*

**22** Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων, καὶ πορείαν ποιούμενος εἰς
Ἱερουσαλήμ.[v] **23** Εἶπεν δέ τις αὐτῷ, «Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι;» Ὁ δὲ εἶπεν πρὸς
αὐτούς· **24** «Ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης,[w] ὅτι πολλοί, λέγω ὑμῖν,
ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν. **25** Ἀφ᾽ οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ
ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν λέγοντες,
‹Κύριε, Κύριε,[x] ἄνοιξον ἡμῖν›· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν, ‹Οὐκ οἶδα ὑμᾶς· πόθεν
ἐστέ;› **26** τότε ἄρξεσθε[y] λέγειν, ‹Ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, καὶ ἐν ταῖς
πλατείαις ἡμῶν ἐδίδαξας.› **27** Καὶ ἐρεῖ· ‹Λέγω[z] ὑμῖν, οὐκ οἶδα ὑμᾶς[a] πόθεν ἐστέ.
Ἀπόστητε ἀπ᾽ ἐμοῦ, πάντες οἱ[b] ἐργάται τῆς[c] ἀδικίας.›

---

[1] τω *rell* ¦ το [15%]
[m] οχλω **f**$^{35}$ 𝔓$^{45}$A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 οτι 𝔓$^{75}$אB [1%] NU
[n] ταυταις **f**$^{35}$ D [93%] CP,HF,RP,TR,OC ¦ αυταις 𝔓$^{45,75}$אA,B,N,W [7%] NU
[o] ουν **f**$^{35}$ A,N,W [96%] CP,HF,RP,TR,OC ¦ δε 𝔓$^{45,75}$אB,D [2.5%] NU ¦ --- [1.5%]
[p] υποκριται **f**$^{35}$ 𝔓$^{75}$אA,B,N [75%] CP,HF,RP,NU ¦ υποκριτα 𝔓$^{45}$D,W [25%] TR,OC
[q] δε **f**$^{35}$ A,D(N)W [98.5%] CP,HF,RP,TR,OC ¦ ουν 𝔓$^{45,75}$אB [1.5%] NU
[r] εαυτου *rell* ¦ αυτου 𝔓$^{45}$אD [15%]
[s] μεγα **f**$^{35}$ 𝔓$^{45}$A,N,W (97.1%) CP,HF,RP,TR,OC ¦ μεγαν (2.1%) ¦ --- 𝔓$^{75}$אB(D) (0.8%) NU
[t] παλιν **f**$^{35}$ A,N,W [95%] CP,HF,RP,OC ¦ και 1 𝔓$^{45,75}$אB [5%] TR,NU ¦ D is wild
[u] εκρυψεν **f**$^{35}$ 𝔓$^{45}$B,N [60%] CP,OC ¦ ενεκρυψεν 𝔓$^{75}$אA,D,W [40%] HF,RP,TR[NU]
[v] ιερουσαλημ **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ιεροσολυμα 𝔓$^{75}$א [0.5%] NU ¦ εροσολυμα B
[w] πυλης **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ θυρας 𝔓$^{(45)75}$אB,D [1%] NU
[x] κυριε **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB [0.5%] NU
[y] αρξεσθε **f**$^{35}$ 𝔓$^{75}$B [70%] CP,HF,RP,TR,OC,NU ¦ αρξησθε אA,D,N,W [30%]
[z] λεγω **f**$^{35}$ 𝔓$^{75}$A,D,N,W (94.7%) CP,HF,RP,TR,OC ¦ λεγων B (1.3%) NU ¦ --- א (1.3%) ¦ omit 26-27a (2.7%)
[a] υμας **f**$^{35}$ אA(D)N,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{75}$B [1%]
[b] οι **f**$^{35}$ A [75%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,D,N,W [25%] NU
[c] της **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB(D) [0.5%] NU

**28** »Ἐκεῖ ἔσται ὁ κλαυθμός, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψεσθε[d] Ἀβραὰμ
καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ
ἐκβαλλομένους ἔξω. **29** Καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ[e] βορρᾶ καὶ
νότου, καὶ ἀνακλιθήσονται[f] ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. **30** Καὶ ἰδού, εἰσὶν ἔσχατοι οἳ
ἔσονται πρῶτοι, καὶ εἰσὶν πρῶτοι οἳ ἔσονται ἔσχατοι.»

### *A word for Herod*

**31** Ἐν αὐτῇ τῇ ἡμέρᾳ[g] προσῆλθόν[h] τινες Φαρισαῖοι λέγοντες αὐτῷ, «Ἔξελθε καὶ
πορεύου ἐντεῦθεν, ὅτι Ἡρῴδης θέλει[i] σε ἀποκτεῖναι.» **32** Καὶ εἶπεν αὐτοῖς·
«Πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· ‹Ἰδού, ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ[j]
σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι.› **33** Πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ
τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἱερουσαλήμ.

### *Jesus laments over Jerusalem*

**34** »Ἱερουσαλήμ, Ἱερουσαλήμ, ἡ ἀποκτένουσα[k] τοὺς προφήτας καὶ λιθοβολοῦσα
τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν
τρόπον ὄρνις[l] τὴν ἑαυτῆς νοσσιὰν[m] ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. **35** Ἰδού,
ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος.[n] Λέγω δὲ[o] ὑμῖν ὅτι[p] οὐ μή με ἴδητε[q] ἕως ἂν ἥξει
ὅτε[r] εἴπητε, ‹Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.› »

### *Jesus heals a man with dropsy*

**14:1** Καὶ ἐγένετο, ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν[s]
Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. **2** Καὶ
ἰδού, ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. **3** Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν
πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους λέγων, «Εἰ[t] ἔξεστιν τῷ σαββάτῳ θεραπεύειν;»[u]
**4** Οἱ δὲ ἡσύχασαν. Καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν καὶ ἀπέλυσεν. **5** Καὶ ἀποκριθεὶς[v]

---

[d] οψεσθε **f**$^{35}$ B,D [27%] CP,UBS ¦ οψησθε **𝔓**$^{75}$A,N,W [73%] HF,RP,TR,OC,N-A ¦ ιδητε א

[e] και **f**$^{35}$ אA,D,N,W [98%] CP,HF,RP ¦ 1 απο B [2%] TR,OC,NU ¦ απο **𝔓**$^{75}$

[f] ανακλιθησονται *rell* ¦ ανακληθησονται N [30%]

[g] ημερα **f**$^{35}$ N,W [97%] CP,HF,RP,TR,OC ¦ ωρα **𝔓**$^{75}$אA,B,D [3%] NU

[h] προσηλθον *rell* ¦ προσηλθαν **𝔓**$^{75}$B,D,NU

[i] θελει *rell* ¦ θελη [15%]

[j] επιτελω **f**$^{35}$ A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ αποτελω **𝔓**$^{75}$אB [2%] NU ¦ αποτελουμαι D ¦ ποιουμαι και **𝔓**$^{45}$ ¦ two other variants

[k] αποκτενουσα **f**$^{35}$ (A) [48%] HF,RP ¦ αποκτεννουσα CP,OC ¦ αποκτεινουσα **𝔓**$^{45,75}$אB,D [49%] TR,NU ¦ αποκτειναςα [3%] ¦ αποκτινουσα N,W

[l] ορνις *rell* ¦ 1 επισυναγει CP

[m] την εαυτης νοσσιαν *rell* ¦ τα 2 νοσσια A(D) [12%]

[n] ερημος **f**$^{35}$ D,N [55%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{45v,75}$אA,B,W [45%] NU

[o] λεγω δε **f**$^{35}$ **𝔓**$^{75}$A,B,D,N,W [96.5%] CP,HF,RP,OC[NU] ¦ ~ 21 [2%] ¦ ~ αμην 21 [1%] TR ¦ 1 **𝔓**$^{45}$א [0.4%]

[p] οτι **f**$^{35}$ A,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{45v,75}$אB,D [3%] NU

[q] με ιδητε **f**$^{35}$ **𝔓**$^{45,75}$D,N [85%] CP,HF,RP,TR,OC ¦ ~ 21 אA,B,W [15%] NU

[r] αν ηξει οτε **f**$^{35}$ A,N,W [45%] RP ¦ 1 ηξη 3 [47%] CP,HF,TR,OC ¦ 23 D [0.2%] [NU] ¦ 1 **𝔓**$^{45}$א [6%] ¦ 3 [1.5%] ¦ --- **𝔓**$^{75}$B [0.3%]

[s] των **f**$^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- **𝔓**$^{45,75}$אB [1%]

[t] ει **f**$^{35}$ **𝔓**$^{45}$A,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{75}$אB,D [3%] NU

[u] θεραπευειν **f**$^{35}$ A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ θεραπευσαι **𝔓**$^{45}$ ¦ 1 η ου [1%] ¦ θεραπευσαι η ου **𝔓**$^{75}$אB,D [1.5%] NU

[v] αποκριθεις **f**$^{35}$ (א)A,N(W) [80%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{45,75}$B,D [20%] NU

πρὸς αὐτοὺς εἶπεν,[w] «Τίνος ὑμῶν, υἱὸς[x] ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται,[y] καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ[z] ἡμέρᾳ τοῦ σαββάτου;» **6** Καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ[a] πρὸς ταῦτα.

### *A lesson about humility*

**7** Ἔλεγεν δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξελέγοντο, λέγων πρὸς αὐτούς· **8** «Ὅταν κληθῇς ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς[b] εἰς τὴν πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ κεκλημένος ὑπ᾽ αὐτοῦ, **9** καὶ ἐλθὼν ὁ σὲ καὶ αὐτὸν καλέσας ἐρεῖ, ‹Σύ,[c] δὸς τούτῳ τόπον›· καὶ τότε ἄρξῃ, μετ᾽[d] αἰσχύνης, τὸν ἔσχατον τόπον κατέχειν. **10** Ἀλλ᾽ ὅταν κληθῇς, πορευθεὶς ἀνάπεσε[e] εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ ὁ κεκληκώς σε, εἴπῃ[f] σοι, ‹Φίλε, προσανάβηθι ἀνώτερον.› Τότε ἔσται σοι δόξα ἐνώπιον[g] τῶν συνανακειμένων σοι. **11** Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.»

**12** Ἔλεγεν δὲ καὶ τῷ κεκληκότι αὐτόν· «Ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώνει τοὺς φίλους σου, μηδὲ τοὺς ἀδελφούς σου, μηδὲ τοὺς συγγενεῖς σου, μηδὲ γείτονας πλουσίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσιν,[h] καὶ γένηταί[i] σοι ἀνταπόδομα.[j] **13** Ἀλλ᾽ ὅταν ποιῇς δοχήν,[k] κάλει πτωχούς, ἀναπήρους,[l] χωλούς, τυφλούς· **14** καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν ἀνταποδοῦναί σοι—ἀνταποδοθήσεται γάρ σοι ἐν τῇ ἀναστάσει τῶν δικαίων.»

### *An unusual banquet*

**15** Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα εἶπεν αὐτῷ, «Μακάριος ὃς[m] φάγεται ἄριστον[n] ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.» **16** Ὁ δὲ εἶπεν αὐτῷ· «Ἄνθρωπός τις ἐποίησεν[o] δεῖπνον μέγα, καὶ ἐκάλεσεν πολλούς· **17** καὶ ἀπέστειλεν τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις, ‹Ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστιν πάντα.›[p] **18** Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες.[q] Ὁ πρῶτος εἶπεν αὐτῷ· ‹Ἀγρὸν

---

[w] προς αυτους ειπεν *rell* ¦ ~ 312 A,D,W [13%]
[x] υιος **f**$^{35}$ 𝔓$^{45,75}$B,N,W [72.5%] HF,RP,OC,NU ¦ ο 1 A [1.5%] ¦ ονος ℵ [26%] CP,TR ¦ προβατον D
[y] εμπεσειται **f**$^{35}$ (D,N) [90%] CP,HF,RP,TR,OC ¦ πεσειται 𝔓$^{45,75}$ℵA,B,W [10%] NU
[z] τη **f**$^{35}$ A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB [1%] NU
[a] αυτω **f**$^{35}$ A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45,75}$ℵB,D [1%] NU ¦ two other variants
[b] κατακλιθης *rell* ¦ κατακληθης [15%] ¦ κατακλιθεις [3%] ¦ κατακληθεις [5.5%] ¦ κατακλινου 𝔓$^{45}$ ¦ one other variant
[c] συ **f**$^{35}$ [20%] ¦ σοι 𝔓$^{45,75}$ℵA,B,D,N,W [80%] CP,HF,RP,TR,OC,NU
[d] μετ **f**$^{35}$ 𝔓$^{45}$ [70%] CP,HF,RP,TR,OC ¦ μετα 𝔓$^{75}$ℵA,B,D,N,W [30%] NU
[e] αναπεσε **f**$^{35}$ 𝔓$^{45v,75}$ℵA,B,N,W [80%] CP,HF,RP,OC,NU ¦ ανεπεσε [1%] ¦ αναπεσον [4%] TR ¦ αναπεσαι [15%] ¦ αναπειπτε D
[f] ειπη **f**$^{35}$ A,D,W [99%] CP,HF,RP,TR,OC ¦ ερει 𝔓$^{75}$ℵB,N [1%] NU
[g] ενωπιον **f**$^{35}$ D,W [95%] CP,HF,RP,TR,OC ¦ 1 παντων 𝔓$^{75}$ℵA,B,N [5%] NU
[h] σε αντικαλεσωσιν **f**$^{35}$ A,W [98%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$ℵB,D [2%] NU ¦ αντικαλεσουσεν N
[i] γενηται *rell* ¦ γενησεται [16%] OC ¦ one other variant
[j] σοι ανταποδομα **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$ℵB,D [1%] NU
[k] ποιης δοχην **f**$^{35}$ A,D,N,W [84%] CP,HF,RP,TR,OC ¦ ~ 21 B,NU ¦ ~ 2 ποιησης 𝔓$^{75}$ℵ ¦ ποιεις 2 [16%]
[l] αναπηρους **f**$^{35}$ [90%] CP,HF,RP,TR,OC ¦ αναπειρους 𝔓$^{75}$A,B,D,W [10%] NU ¦ αναπιρους ℵN
[m] ος **f**$^{35}$ A,D,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ οστις 𝔓$^{75}$B [3.5%] NU ¦ omit whole line ℵ
[n] αριστον **f**$^{35}$ A,W [80%] CP,HF,RP,OC ¦ αρτον 𝔓$^{75}$B,D,N [20%] TR,NU
[o] εποιησεν **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ εποιει 𝔓$^{75}$ℵB [0.5%] NU
[p] παντα **f**$^{35}$ A(D)N,W (99.5%) CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{45(75)}$(ℵ)B (0.5%) NU
[q] παραιτεισθαι παντες **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$ℵB,D [1%] NU

ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν καὶ[r] ἰδεῖν αὐτόν. Ἐρωτῶ σε, ἔχε με
παρῃτημένον.› **19** Καὶ ἕτερος εἶπεν· ‹Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι
δοκιμάσαι αὐτά. Ἐρωτῶ σε, ἔχε με παρῃτημένον.› **20** Καὶ ἕτερος εἶπεν, ‹Γυναῖκα
ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν.› **21** Καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος[s]
ἀπήγγειλεν τῷ κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπεν τῷ δούλῳ
αὐτοῦ, ‹Ἔξελθε ταχέως εἰς τὰς πλατείας καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ
ἀναπήρους[t] καὶ τυφλοὺς καὶ χωλοὺς[u] εἰσάγαγε ὧδε.› **22** Καὶ εἶπεν ὁ δοῦλος, ‹Κύριε,
γέγονεν ὡς[v] ἐπέταξας, καὶ ἔτι τόπος ἐστίν.› **23** Καὶ εἶπεν ὁ κύριος πρὸς τὸν δοῦλον·
‹Ἔξελθε εἰς τὰς ὁδοὺς καὶ φραγμοὺς καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκος
μου.[w] **24** Λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί
μου τοῦ δείπνου.› »[x]

## Jesus ministers (mainly) in Perea

*Jesus defines discipleship*

**14:25** Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί, καὶ στραφεὶς εἶπεν πρὸς αὐτούς· **26** «Εἴ
τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ[y] καὶ τὴν μητέρα, καὶ τὴν γυναῖκα
καὶ τὰ τέκνα, καὶ τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ[z] καὶ τὴν ἑαυτοῦ ψυχήν,[a] οὐ
δύναταί μου εἶναι μαθητής.[b] **27** Καὶ ὅστις[c] οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ,[d] καὶ
ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου[e] μαθητής.

**28** »Τίς γὰρ ἐξ ὑμῶν, ὁ θέλων[f] πύργον οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει
τὴν δαπάνην, εἰ ἔχει τὰ[g] πρὸς[h] ἀπαρτισμόν; **29** Ἵνα μήποτε θέντος αὐτοῦ θεμέλιον καὶ
μὴ ἰσχύοντος[i] ἐκτελέσαι, πάντες οἱ θεωροῦντες ἄρξωνται[j] ἐμπαίζειν αὐτῷ,[k]
**30** λέγοντες ὅτι ‹Οὗτος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ ἴσχυσεν ἐκτελέσαι.›

---

[r] εξελθειν και **f**35 A,N,W [99%] CP,HF,RP,TR,OC ¦ εξελθων 𝔓75אB,D [0.5%] NU ¦ three other variants
[s] εκεινος **f**35 N [89%] CP,HF,RP,TR,OC ¦ --- 𝔓45,75אA,B,D,W [11%] NU
[t] αναπηρους **f**35 N [97%] CP,HF,RP,TR,OC ¦ αναπειρους 𝔓75אA,B,D,W [3%] NU
[u] τυφλους και χωλους **f**35 𝔓45,75אB,D,W [42%] CP,NU ¦ ~ 321 N [57%] HF,RP,TR,OC ¦ 1 A [1%]
[v] ως **f**35 A,N,W [98%] CP,HF,RP,TR,OC ¦ ο 𝔓45v,75אB,D [1%] NU ¦ two other variants [1%]
[w] ο οικος μου **f**35 𝔓45W [95%] CP,HF,RP,TR,OC ¦ ~ 312 𝔓75אA,B,D,N [5%] NU
[x] δειπνου **f**35 𝔓45,75אA,B,D,N,W [55%] CP,HF,TR,OC,NU ¦ 1 πολλοι γαρ εισιν κλητοι ολιγοι δε εκλεκτοι [45%] RP
[y] αυτου **f**35 𝔓45אA,D,N,W [96%] CP,HF,RP ¦ εαυτου 𝔓75B [4%] TR,OC,NU
[z] δε **f**35 𝔓45אA,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ τε B [1%] NU ¦ --- 𝔓75
[a] εαυτου ψυχην **f**35 𝔓45A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓75אB,NU
[b] μου ειναι μαθητης **f**35 𝔓45,75N [36%] CP ¦ ~ 132 A,D,W [60%] HF,RP,TR,OC ¦ ~ 213 אB [4%] NU ¦ one other variant
[c] και οστις **f**35 A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ 2 𝔓45,75א [0.5%] NU ¦ 2 ουν B ¦ two other variants
[d] αυτου **f**35 𝔓45,75אD [92%] CP,HF,RP,TR ¦ εαυτου A,B,N,W [8%] OC,NU
[e] ειναι μου **f**35 𝔓75אB,N,W [75%] CP,HF,RP,OC,NU ¦ ~ 21 𝔓45A(D) [25%] TR
[f] ο θελων **f**35 𝔓45W [70%] CP,HF,RP ¦ 2 אA,B,D,N [30%] TR,OC,NU ¦ θελει 𝔓75
[g] τα **f**35 אA,N [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓45,75B,D,W [1.5%] NU
[h] προς **f**35 [45%] CP,TR,OC ¦ εις 𝔓45,75אA,B,D,N,W [55%] HF,RP,NU
[i] ισχυοντος *rell* ¦ ισχυσαντος [8%] OC ¦ three other spellings
[j] αρξωνται *rell* ¦ αρξονται N [18%]
[k] εμπαιζειν αυτω **f**35 𝔓45v [86%] CP,HF,RP,TR ¦ ~ 21 𝔓75אA,B,N,W [13%] OC,NU ¦ --- (D) ¦ two other variants [1%]

**31** »Ἢ τίς βασιλεύς, πορευόμενος συμβαλεῖν ἑτέρῳ βασιλεῖ[l] εἰς πόλεμον, οὐχὶ
καθίσας πρῶτον[m] βουλεύεται[n] εἰ δυνατός ἐστιν ἐν δέκα χιλιάσιν ἀπαντῆσαι[o] τῷ μετὰ
εἴκοσι χιλιάδων ἐρχομένῳ ἐπ᾽ αὐτόν; **32** Εἰ δὲ μή γε, ἔτι πόρρω αὐτοῦ[p] ὄντος,
πρεσβείαν ἀποστείλας ἐρωτᾷ τὰ πρὸς εἰρήνην.

**33** »Οὕτως οὖν πᾶς ἐξ ὑμῶν ὃς οὐκ ἀποτάσσεται πᾶσιν τοῖς ἑαυτοῦ ὑπάρχουσιν,
οὐ δύναταί μου εἶναι[q] μαθητής. **34** Καλὸν[r] τὸ ἅλας· ἐὰν δὲ[s] τὸ ἅλας μωρανθῇ, ἐν τίνι
ἀρτυθήσεται; **35** Οὔτε εἰς γῆν οὔτε εἰς κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό.
Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.»

*Parable of a lost sheep*

**15:1** Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ[t] πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν
αὐτοῦ. **2** Καὶ διεγόγγυζον οἱ[u] Φαρισαῖοι καὶ οἱ γραμματεῖς λέγοντες ὅτι «Οὗτος
ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς.» **3** Εἶπεν δὲ πρὸς αὐτοὺς τὴν
παραβολὴν ταύτην λέγων· **4** «Τίς ἄνθρωπος ἐξ ὑμῶν, ἔχων ἑκατὸν πρόβατα καὶ
ἀπολέσας ἓν ἐξ αὐτῶν,[v] οὐ καταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ καὶ
πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως[w] εὕρῃ αὐτό; **5** Καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους
αὐτοῦ[x] χαίρων. **6** Καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ[y] τοὺς φίλους καὶ τοὺς γείτονας,
λέγων αὐτοῖς, ‹Συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός.› **7** Λέγω
ὑμῖν ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ οὐρανῷ[z] ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ
ἐνενήκοντα ἐννέα δικαίοις οἵτινες οὐ χρείαν ἔχουσιν μετανοίας.

*Parable of a lost coin*

**8** »Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει
λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς ἕως ὅτου[a] εὕρῃ; **9** Καὶ εὑροῦσα,
συγκαλεῖται[b] τὰς φίλας καὶ τὰς[c] γείτονας λέγουσα, ‹Συγχάρητέ μοι, ὅτι εὗρον τὴν
δραχμὴν ἣν ἀπώλεσα.› **10** Οὕτως, λέγω ὑμῖν, χαρὰ γίνεται[d] ἐνώπιον τῶν ἀγγέλων τοῦ
Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.»

---

[l] συμβαλειν ετερω βασιλει **f**$^{35}$ W [98%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**$^{75}$(א)A,B,D,N [2%] NU ¦ two other variants
[m] καθισας πρωτον *rell* ¦ ~ 21 [1%] OC
[n] βουλευεται **f**$^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ βουλευσεται **𝔓**$^{75}$אB [1%] NU
[o] απαντησαι **f**$^{35}$ N,W [97%] CP,HF,RP,TR,OC ¦ υπαντησαι **𝔓**$^{45,75}$אA,B(D) [3%] NU
[p] πορρω αυτου **f**$^{35}$ A [95%] CP,HF,RP,OC ¦ ~ 21 **𝔓**$^{75}$אB,D,N,W [5%] TR,NU
[q] μου ειναι **f**$^{35}$ A(D)N,W [99%] CP,HF,RP,TR ¦ ~ 21 **𝔓**$^{75}$אB [1%] OC,NU
[r] καλον **f**$^{35}$ A,D,N,W [98%] CP,HF,RP,TR,OC ¦ 1 ουν **𝔓**$^{75}$אB [2%] NU
[s] δε **f**$^{35}$ **𝔓**$^{75}$A,W [98.5%] CP,HF,RP,TR ¦ 1 και אB,D,N [1.5%] OC,NU
[t] εγγιζοντες αυτω **f**$^{35}$ D,N [82%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**$^{75}$אA,B,W [18%] NU
[u] οι **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ 1 τε **𝔓**$^{75}$אB,D [0.5%] NU
[v] εν εξ αυτων **f**$^{35}$ A,N [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**$^{75}$אB(D)W [1.5%] NU
[w] εως **f**$^{35}$ **𝔓**$^{75}$B,D,W [70%] CP,HF,RP,TR,NU ¦ 1 ου אA,N [30%] OC
[x] αυτου **f**$^{35}$ **𝔓**$^{75}$אB,D,N [45%] OC,NU ¦ εαυτου A,W [55%] CP,HF,RP,TR
[y] συγκαλει *rell* ¦ συγκαλειται D [16%] ¦ συγκαλειτε N ¦ one other variant
[z] εσται εν τω ουρανω **f**$^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2341 **𝔓**$^{75}$אB [1%] NU
[a] οτου **f**$^{35}$ A,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ ου **𝔓**$^{75}$אB [3%] NU ¦ --- D [1%] ¦ three other variants
[b] συγκαλειται **f**$^{35}$ (A)(D)W [86%] CP,HF,RP,TR ¦ συγκαλει **𝔓**$^{75}$(א)B,N [14%] OC,NU
[c] τας **f**$^{35}$ A(D)N,W [96.5%] CP,HF,RP,TR,OC ¦ τους [3%] ¦ --- **𝔓**$^{75}$אB [0.5%] NU
[d] χαρα γινεται **f**$^{35}$ (A)N(W) [99%] CP,HF,RP,TR,OC ¦ ~ γεινεται 1 **𝔓**$^{75}$אB [1%] NU ¦ 1 εσται D

## *Parable of a lost son*

**11** Εἶπεν δέ· «Ἄνθρωπός τις εἶχεν δύο υἱούς. **12** Καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ
πατρί, ‹Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας.› Καὶ[e] διεῖλεν αὐτοῖς τὸν βίον.
**13** Καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας, συναγαγὼν ἅπαντα,[f] ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς
χώραν μακράν· καὶ ἐκεῖ διεσκόρπισεν τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως.
**14** Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὸς[g] κατὰ τὴν χώραν ἐκείνην,
καὶ αὐτὸς ἤρξατο[h] ὑστερεῖσθαι. **15** Καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς
χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους· **16** καὶ
ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ ἀπὸ[i] τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ
οὐδεὶς ἐδίδου αὐτῷ. **17** Εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπεν·[j] ‹Πόσοι μίσθιοι τοῦ πατρός μου
περισσεύουσιν[k] ἄρτων, ἐγὼ δὲ λιμῷ[l] ἀπόλλυμαι· **18** ἀναστὰς πορεύσομαι πρὸς τὸν
πατέρα μου καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, **19** καὶ[m]
οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.›

**20** »Καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πατέρα ἑαυτοῦ.[n] Ἔτι δὲ αὐτοῦ μακρὰν
ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνίσθη· καὶ δραμὼν ἐπέπεσεν[o] ἐπὶ
τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. **21** Εἶπεν δὲ αὐτῷ ὁ υἱός,[p] ‹Πάτερ,
ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ[q] οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου.›[r]
**22** Εἶπεν δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ·[s] ‹Ἐξενέγκατε τὴν[t] στολὴν τὴν πρώτην
καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ καὶ ὑποδήματα εἰς τοὺς
πόδας.[u] **23** Καὶ ἐνέγκαντες[v] τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες

---

[e] και **f**$^{35}$ ℵD,N,W [99%] CP,HF,RP,TR,OC ¦ ο δε A,B [1%] NU ¦ --- **𝔓**$^{75}$

[f] απαντα **f**$^{35}$ ℵA,N,W [97%] CP,HF,RP,TR,OC ¦ παντα **𝔓**$^{75}$B,D [3%] NU

[g] ισχυρος **f**$^{35}$ N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ισχυρα **𝔓**$^{75}$ℵA,B,D [1%] NU

[h] ηρξατο *rell* ¦ 1 του A [20%]

[i] γεμισαι την κοιλιαν αυτου απο **f**$^{35}$ A,N,Q (96.4%) CP,HF,RP,TR,OC ¦ 1234 εκ (0.9%) ¦ χορτασθηναι εκ **𝔓**$^{75}$ℵB,D (2.2%) NU ¦ χορτασθηναι 5 (0.5%) ¦ 123 και χορτασθηναι 5 W

[j] ειπεν **f**$^{35}$ A,D,N,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ εφη **𝔓**$^{75}$ℵB [1.5%] NU

[k] περισσευουσιν **f**$^{35}$ ℵD,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ περισσευονται **𝔓**$^{75}$A,B [2%] NU

[l] λιμω **f**$^{35}$ (A)Q,W [91.5%] CP,HF,RP,TR,OC ¦ 1 ωδε (**𝔓**$^{75}$ℵB) [2.5%] NU ¦ ωδε 1 (D)N [6%]

[m] και **f**$^{35}$ N [58%] CP,HF,RP,TR ¦ --- **𝔓**$^{75}$ℵA,B,D,Q,W [42%] OC,NU

[n] εαυτου **f**$^{35}$ **𝔓**$^{75}$A,B,W [42%] TR,NU ¦ αυτου ℵD,N,Q [58%] CP,HF,RP,OC

[o] επεπεσεν *rell* ¦ επεσεν W [20%] ¦ ενεπεσεν D

[p] αυτω ο υιος **f**$^{35}$ ℵA,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 **𝔓**$^{75}$B(D) [1%] NU

[q] και **f**$^{35}$ N,Q,W [94%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{75}$ℵA,B,D [6%] NU

[r] σου **f**$^{35}$ **𝔓**$^{75}$A,N,Q,W (87.3%) CP,HF,RP,TR,OC,NU ¦ 1 ποιησον με ως ενα των μισθιων 1 ℵB,D (12.5%) ¦ long omissions (0.2%)

[s] αυτου **f**$^{35}$ A,N,Q,W [97%] CP,HF,RP,TR,OC ¦ 1 ταχυ (**𝔓**$^{75}$ℵ)B [1%] NU ¦ 1 ταχεως D [2%] ¦ one other variant

[t] την **f**$^{35}$ **𝔓**$^{75}$ [95%] CP,HF,RP,TR,OC ¦ --- ℵA,B,D,N,Q,W [5%] NU

[u] ποδας *rell* ¦ 1 αυτου D [12%]

[v] ενεγκαντες **f**$^{35}$ A,Q,W [85%] CP,HF,RP,TR,OC ¦ ενεγκοντες N [13%] ¦ εξενεγκαντες [1%] ¦ ενεγκατε D [0.5%] ¦ φερετε **𝔓**$^{75}$ℵB [0.5%] NU

εὐφρανθῶμεν· **24** ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν καὶ ἀνέζησεν, καὶ[w] ἀπολωλὼς ἦν[x]
καὶ εὑρέθη.›[y] Καὶ ἤρξαντο εὐφραίνεσθαι.

**25** »Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισεν τῇ
οἰκίᾳ ἤκουσεν συμφωνίας καὶ χορῶν· **26** καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων,[z]
ἐπυνθάνετο τί[a] εἴη ταῦτα. **27** Ὁ δὲ εἶπεν αὐτῷ ὅτι ‹Ὁ ἀδελφός σου ἥκει, καὶ ἔθυσεν ὁ
πατήρ σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν.› **28** Ὠργίσθη δὲ
καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν[b] πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. **29** Ὁ δὲ
ἀποκριθεὶς εἶπεν τῷ πατρί·[c] ‹Ἰδού, τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν
σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ.
**30** Ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν, ἔθυσας
αὐτῷ τὸν μόσχον τὸν σιτευτόν.›[d] **31** Ὁ δὲ εἶπεν αὐτῷ· ‹Τέκνον, σὺ πάντοτε μετ᾽ ἐμοῦ
εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν. **32** Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός
σου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησεν,[e] καὶ[f] ἀπολωλὼς[g] ἦν[h] καὶ εὑρέθη.› »[i]

### *Parable of a stupid steward*

**16:1** Ἔλεγεν δὲ καὶ[j] πρὸς τοὺς μαθητὰς αὐτοῦ·[k] «Ἄνθρωπός τις ἦν πλούσιος ὃς
εἶχεν οἰκονόμον, καὶ οὗτος διεβλήθη αὐτῷ ὡς διασκορπίζων τὰ ὑπάρχοντα αὐτοῦ.
**2** Καὶ φωνήσας αὐτὸν εἶπεν αὐτῷ· ‹Τί τοῦτο ἀκούω περὶ σοῦ; Ἀπόδος τὸν λόγον τῆς
οἰκονομίας σου, οὐ γὰρ δυνήσῃ ἔτι[l] οἰκονομεῖν.› **3** Εἶπεν δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος·
‹Τί ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰκονομίαν ἀπ᾽ ἐμοῦ; Σκάπτειν οὐκ
ἰσχύω· ἐπαιτεῖν αἰσχύνομαι—**4** ἔγνων τί ποιήσω, ἵνα ὅταν μετασταθῶ[m] τῆς
οἰκονομίας, δέξωνταί με εἰς τοὺς οἴκους αὐτῶν.›[n] **5** Καὶ προσκαλεσάμενος ἕνα
ἕκαστον τῶν χρεωφειλετῶν[o] τοῦ κυρίου ἑαυτοῦ,[p] ἔλεγεν τῷ πρώτῳ, ‹Πόσον ὀφείλεις[q]

---

[w] και **f**$^{35}$ N [84%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אA,B,D,Q(W) [16%] NU

[x] απολωλως ην **f**$^{35}$ N [45.5%] CP,HF,RP,TR,OC ¦ απολωλος 2 [50%] ¦ ~ 21 A,B,NU ¦ ~ 2 απολωλος א ¦ ~ 2 απολολως 𝔓$^{75}$ ¦ 1 D,Q [1%] ¦ απολωλος [3%] [Though evidently a neuter participle in form, I suppose that απολωλος would be functioning as an adjective, parallel to νεκρος, should one choose that reading.]

[y] ευρεθη *rell* ¦ ηυρεθη A,N [25%]

[z] παιδων *rell* ¦ 1 αυτου [2%] TR

[a] τι **f**$^{35}$ אA(D)W [84%] CP,HF,RP,TR,OC ¦ 1 αν 𝔓$^{75}$B,N,Q [8%] NU ¦ τινα [8%]

[b] ουν **f**$^{35}$ N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ δε 𝔓$^{75}$אA,B,D [2%] NU

[c] πατρι **f**$^{35}$ אW [91%] CP,HF,RP,TR,OC ¦ 1 αυτου 𝔓$^{75}$A,B,D,N,Q [9%] NU

[d] μοσχον τον σιτευτον **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 31 𝔓$^{75}$א(B)(D)Q [0.5%] NU

[e] ανεζησεν **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ εζησεν 𝔓$^{75}$אB [0.5%] NU

[f] και *rell* ¦ --- אD [13%]

[g] απολωλως **f**$^{35}$ 𝔓$^{75}$אA,B,D,N,W [60%] CP,HF,RP,TR,OC,NU ¦ απολωλος [40%]

[h] ην **f**$^{35}$ אN [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$A,B,D(W) [5%] NU

[i] ευρεθη *rell* ¦ ηυρεθη A,N [15%]

[j] και *rell* ¦ --- [14%]

[k] αυτου **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,D [1%] NU

[l] δυνηση ετι **f**$^{35}$ A,N [92%] CP,HF,RP,TR ¦ δυνη 2 𝔓$^{75}$B,D,W [8%] OC,NU ¦ ~ 2 δυνη א

[m] μετασταθω **f**$^{35}$ A,W [88.5%] HF,RP,TR ¦ μεταστω [3.5%] CP ¦ 1 εκ 𝔓$^{75}$אB,D,N [6%] OC,NU ¦ 1 απο [1%] ¦ five other variants [1%]

[n] αυτων *rell* ¦ εαυτων אB,N [2%] OC

[o] χρεωφειλετων **f**$^{35}$ [75%] CP,HF,RP,TR,OC ¦ χρεοφειλετων 𝔓$^{75}$B [5%] NU ¦ χρεοφιλετων אA,D,N [20%] ¦ χρεωστων W

[p] εαυτου **f**$^{35}$ 𝔓$^{75}$A,B,N,W [70%] CP,HF,RP,TR,OC,NU ¦ αυτου אD [30%]

[q] οφειλεις *rell* ¦ 1 συ [2%] OC

τῷ κυρίῳ μου;› **6** Ὁ δὲ εἶπεν, ‹Ἑκατὸν βάτους ἐλαίου.› Καὶ[r] εἶπεν αὐτῷ, ‹Δέξαι σου τὸ γράμμα[s] καὶ καθίσας ταχέως γράψον πεντήκοντα.› **7** Ἔπειτα ἑτέρῳ εἶπεν, ‹Σὺ δὲ πόσον ὀφείλεις;› Ὁ δὲ εἶπεν, ‹Ἑκατὸν κόρους σίτου.› Καὶ λέγει[t] αὐτῷ, ‹Δέξαι σου τὸ γράμμα[u] καὶ γράψον ὀγδοήκοντα.› **8** Καὶ ἐπήνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν. Ὅτι οἱ[v] υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσιν.

A bit of irony

**9** »Κἀγὼ[w] ὑμῖν λέγω, ποιήσατε ἑαυτοῖς[x] φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα ὅταν ἐκλείπητε,[y] δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. **10** Ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστιν, καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ ἄδικός ἐστιν. **11** Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει; **12** Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; **13** Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.»

## *The Law will not fail*

**14** Ἤκουον δὲ ταῦτα πάντα καὶ[z] οἱ Φαρισαῖοι, φιλάργυροι ὑπάρχοντες, καὶ ἐξεμυκτήριζον αὐτόν. **15** Καὶ εἶπεν αὐτοῖς· «Ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν. Ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ.[a] **16** Ὁ νόμος καὶ οἱ προφῆται ἕως[b] Ἰωάννου· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται.
**17** Εὐκοπώτερον δέ ἐστιν τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν, ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν.

**18** »Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει,[c] καὶ πᾶς ὁ[d] ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει.

---

[r] και **f**$^{35}$ N,W [96.5%] CP,HF,RP,TR,OC ¦ ο δε 𝔓$^{75}$אA,B [3.5%] NU ¦ δε (D)
[s] το γραμμα **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ τα γραμματα 𝔓$^{75}$אB,D,N [1%] NU
[t] και λεγει **f**$^{35}$ A,N,W [93%] CP,HF,RP,TR,OC ¦ 2 𝔓$^{75}$B [6%] NU ¦ ~ 2 δε א [1%] ¦ ο δε 2 D
[u] το γραμμα **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ τα γραμματα 𝔓$^{75}$אB,D,N [1%] NU
[v] οι *rell* ¦ --- [13%]
[w] καγω **f**$^{35}$ A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ και εγω 𝔓$^{75}$אB [1.5%] NU
[x] ποιησατε εαυτοις **f**$^{35}$ A,D,N,W [88%] CP,HF,RP,TR,OC ¦ 1 εαυτους [11.5%] ¦ ~ 21 𝔓$^{75}$אB [0.5%] NU
[y] εκλειπητε **f**$^{35}$ [65%] CP,HF ¦ εκλιπητε [30%] RP,TR,OC ¦ εκλιπη 𝔓$^{75}$אB,D,N [2.5%] NU ¦ εκλειπη A [2%] ¦ εκλειπηται W ¦ one other variant
[z] ταυτα παντα και **f**$^{35}$ A,N,W (82.8%) CP,HF,RP,TR,OC ¦ ~ 213 (3%) ¦ 12 𝔓$^{75}$(א)B (3.2%) NU ¦ 13 (6.2%) ¦ 23 (1.7%) ¦ ~ 21 (0.4%) ¦ 1 D (0.5%) ¦ 2 (0.2%) ¦ 1 παντες 3 (0.4%) ¦ παντες 3 (0.5%) ¦ παντες (1.3%)
[a] του θεου **f**$^{35}$ 𝔓$^{75}$אA,D,N,W [62%] HF,RP,OC,NU ¦ 12 εστιν [38%] TR ¦ 12 ην CP ¦ κυριου B
[b] εως **f**$^{35}$ A,D,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ μεχρι 𝔓$^{75}$אB [2.5%] NU
[c] μοιχευει *rell* ¦ μοιχαται [16%]
[d] πας ο **f**$^{35}$ אA,N,W [97%] CP,HF,RP,TR,OC ¦ ο B,D [3%] NU ¦ --- 𝔓$^{75}$

*A rich man and beggar Lazarus*

**19** »Ἄνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον,
εὐφραινόμενος καθ᾽ ἡμέραν λαμπρῶς. **20** Πτωχὸς δέ τις ἦν[e] ὀνόματι Λάζαρος, ὃς[f]
ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ, ἡλκωμένος,[g] **21** καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ
τῶν ψιχίων τῶν πιπτόντων[h] ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου—ἀλλὰ καὶ οἱ κύνες
ἐρχόμενοι ἀπέλειχον[i] τὰ ἕλκη αὐτοῦ. **22** Ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ
ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον τοῦ[j] Ἀβραάμ.

»Ἀπέθανεν δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. **23** Καὶ ἐν τῷ Ἅδῃ ἐπάρας τοὺς
ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν[k] Ἀβραὰμ ἀπὸ μακρόθεν, καὶ
Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. **24** Καὶ αὐτὸς φωνήσας εἶπεν, ‹Πάτερ Ἀβραάμ,
ἐλέησόν με καὶ πέμψον Λάζαρον, ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ
καταψύξῃ τὴν γλῶσσάν μου· ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ.› **25** Εἶπεν δὲ Ἀβραάμ·
‹Τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου[l] ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος
ὁμοίως τὰ κακά· νῦν δὲ ὅδε[m] παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι. **26** Καὶ ἐπὶ[n] πᾶσι τούτοις,
μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν[o]
πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ[p] ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν.› **27** Εἶπεν δέ,
‹Ἐρωτῶ οὖν σε,[q] πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου, **28** ἔχω γὰρ
πέντε ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον
τοῦτον τῆς βασάνου.› **29** Λέγει[r] αὐτῷ[s] Ἀβραάμ, ‹Ἔχουσι Μωσέα[t] καὶ τοὺς προφήτας·
ἀκουσάτωσαν αὐτῶν.› **30** Ὁ δὲ εἶπεν, ‹Οὐχί, πάτερ Ἀβραάμ—ἀλλ᾽ ἐάν τις ἀπὸ[u]
νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν.›[v] **31** Εἶπεν δὲ αὐτῷ, ‹Εἰ Μωσέως[w] καὶ
τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ[x] ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.› »

---

[e] ην **f**$^{35}$ A,N,W (95.3%) CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D (4.7%) NU

[f] ος **f**$^{35}$ A,N,W (98.6%) CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D (1.4%) NU [Note that in the space of four words in the Text the same four early uncials are ‘followed’ by a rather different array of other attestation; we have independent lines of transmission.]

[g] ηλκωμενος **f**$^{35}$ [84%] CP,HF,RP,TR,OC ¦ ειλκωμενος 𝔓$^{75}$ℵA,B,D,N,W [16%] NU

[h] των ψιχιων των πιπτοντων **f**$^{35}$ A(D)N,W (98.7%) CP,HF,RP,TR,OC ¦ ~ 342 (0.4%) ¦ 34 𝔓$^{75}$ℵB (0.3%) NU ¦ 12 (0.1%) ¦ --- (0.4%) ¦ three other variants (0.2%)

[i] απελειχον **f**$^{35}$ N(W) [98.5%] CP,HF,RP,TR,OC ¦ επελειχον ℵA,B [1%] NU ¦ ελειχον D [0.5%]

[j] του **f**$^{35}$ W [26%] CP,TR ¦ --- 𝔓$^{75}$ℵA,B(D)N [74%] HF,RP,OC,NU

[k] τον **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D [0.5%] NU

[l] συ τα αγαθα σου **f**$^{35}$ W [87%] CP,HF,RP,TR,OC ¦ ~ 2341 A ¦ 234 𝔓$^{75}$ℵB,D,N [13%] NU

[m] οδε **f**$^{35}$ [30%] CP,TR ¦ ωδε 𝔓$^{75}$ℵA,B,D,N,W [70%] HF,RP,OC,NU [the emphatic pronoun is better—‘<u>he</u>’ VS ‘here’—Abraham is contrasting the situation of the two men]

[n] επι **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ εν 𝔓$^{75}$ℵB [0.5%] NU

[o] ενθεν **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,N [89%] CP,HF,RP,OC,NU ¦ εντευθεν [11%] TR ¦ --- D,W

[p] οι **f**$^{35}$ A,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D,NU

[q] ουν σε **f**$^{35}$ 𝔓$^{75}$ℵN [98%] CP,HF,RP,TR,OC ¦ ~ 21 A,B,D [2%] NU ¦ 2 W

[r] λεγει **f**$^{35}$ [67%] CP,HF,RP,TR,OC ¦ 1 δε 𝔓$^{75}$ℵA,B,N,W [33%] NU ¦ ειπεν δε D

[s] αυτω **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB [0.5%] NU

[t] μωσεα **f**$^{35}$ ℵA,W [91%] CP,HF,RP,TR ¦ μωυσεα 𝔓$^{75}$B,D,N [9%] OC,NU ¦ one other variant

[u] απο *rell* ¦ 1 των [14%] ¦ εκ D [3%]

[v] μετανοησουσιν *rell* ¦ μετανοησωσιν [23%]

[w] μωσεως **f**$^{35}$ ℵA,B [91%] CP,HF,RP,TR ¦ μωυσεως 𝔓$^{75}$D,N,W [8%] OC,NU ¦ three other variants [1%]

[x] ουδε *rell* ¦ ουδ NU

*Don't offend, forgive*

**17:1** Εἶπεν δὲ[y] πρὸς τοὺς μαθητάς·[z] «Ἀνένδεκτόν ἐστιν τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα,[a] οὐαὶ δὲ[b] δι᾽ οὗ ἔρχεται. **2** Λυσιτελεῖ αὐτῷ εἰ μύλος ὀνικὸς[c] περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.[d] **3** Προσέχετε ἑαυτοῖς· ἐὰν δὲ[e] ἁμάρτῃ εἰς σὲ[f] ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ,[g] ἄφες αὐτῷ. **4** Καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ[h] εἰς σέ, καὶ ἑπτάκις τῆς ἡμέρας[i] ἐπιστρέψῃ,[j] λέγων, ‹Μετανοῶ,› ἀφήσεις αὐτῷ.»

Faith like a mustard seed has

**5** Καὶ εἶπον[k] οἱ ἀπόστολοι τῷ Κυρίῳ, «Πρόσθες ἡμῖν πίστιν.» **6** Εἶπεν δὲ ὁ Κύριος· «Εἰ εἴχετε[l] πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ,[m] ‹Ἐκριζώθητι, καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ,› καὶ ὑπήκουσεν ἂν ὑμῖν.

*The thanks that a slave gets*

**7** »Τίς δὲ ἐξ ὑμῶν, δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ, ἐρεῖ[n] εὐθέως, ‹Παρελθὼν ἀνάπεσε›;[o] **8** Ἀλλ᾽ οὐχὶ ἐρεῖ αὐτῷ, ‹Ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι ἕως[p] φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ›; **9** Μὴ χάριν ἔχει[q] τῷ δούλῳ ἐκείνῳ[r] ὅτι ἐποίησεν τὰ διαταχθέντα; Οὐ δοκῶ.[s] **10** Οὕτως καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε ὅτι ‹Δοῦλοι ἀχρεῖοί ἐσμεν, ὅτι[t] ὃ ὠφείλομεν[u] ποιῆσαι πεποιήκαμεν.› »

---

[y] ειπεν δε *rell* ¦ ελεγεν 2 και OC
[z] μαθητας **f**[35] N,W [84%] CP,HF,RP,TR ¦ 1 αυτου 𝔓[75]אA,B,D [16%] OC,NU
[a] μη ελθειν τα σκανδαλα **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 3412 𝔓[75]אB [0.5%] NU
[b] ουαι δε **f**[35] A,N(W) [97.5%] CP,HF,RP,TR,OC ¦ ~ πλην 1 𝔓[75]אB,D [2.5%] NU
[c] μυλος ονικος **f**[35] A,N [94%] CP,HF,RP,TR ¦ λιθος μυλικος 𝔓[75]אB,D [6%] OC,NU ¦ λιθος 2 W
[d] ενα των μικρων τουτων **f**[35] A(D)N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 א(B) [0.5%] NU
[e] δε **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ --- אB,D,N [3%] NU
[f] εις σε **f**[35] D,N [95.5%] CP,HF,RP,TR,OC ¦ --- אA,B,W [4.5%] NU
[g] μετανοηση *rell* ¦ μετανοησει [11%]
[h] αμαρτη **f**[35] א [96%] CP,HF,RP,TR,OC ¦ αμαρτηση A,B,D,N,W [4%] NU
[i] της ημερας **f**[35] A,N,W [98%] CP,HF,RP,TR,OC ¦ --- אB,D [2%] NU
[j] επιστρεψη **f**[35] N,W [92%] CP,HF,RP ¦ 1 επι σε [3%] TR ¦ 1 προς σε אA,B,D [4%] OC,NU ¦ 1 εις σε [1%] ¦ one other variant (15% have επιστρεφει scattered among the variants)
[k] ειπον *rell* ¦ ειπαν אB,D [1%] NU
[l] ειχετε **f**[35] D [50%] CP,TR ¦ εχετε 𝔓[75]אA,B [50%] HF,RP,OC,NU ¦ εχεται N,W
[m] ταυτη **f**[35] A,B,N,W [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓[75]א(D) [0.5%]
[n] ερει **f**[35] A,W [93.5%] CP,HF,RP,TR,OC ¦ 1 αυτω 𝔓[75]אB,D,N [6.5%] NU
[o] αναπεσε **f**[35] 𝔓[75]אB,D,W [80%] CP,HF,RP,OC,NU ¦ αναπεσαι A,N [18%] TR ¦ αναπεσον [2%] ¦ three other variants
[p] εως *rell* ¦ 1 αν A,N [19%]
[q] χαριν εχει **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓[75]אB,D [1%] NU
[r] τω δουλω εκεινω **f**[35] N,W [99%] CP,HF,RP,TR,OC ¦ 12 𝔓[75]A,B,D [1%] NU ¦ --- א
[s] ου δοκω **f**[35] A,N,W (93.8%) CP,HF,RP,OC ¦ αυτω 12 D (2.8%) TR ¦ αυτω (0.2%) ¦ παντα … αυτω 12 (0.6%) ¦ παντα … 12 (0.3%) ¦ two other readings (0.1%) ¦ --- 𝔓[75]B (1.5%) NU ¦ long omissions א (0.6%)
[t] οτι **f**[35] N,W [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אA,B,D [5%] NU
[u] ωφειλομεν **f**[35] 𝔓[75]A,B,D [55%] HF,TR,OC,NU ¦ ωφειλαμεν א [0.5%] ¦ οφειλομεν W [45%] CP,RP ¦ οφιλομεν N

## *Jesus cleanses ten lepers*

**11** Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν[v] εἰς Ἱερουσαλήμ, καὶ αὐτὸς διήρχετο διὰ μέσου[w] Σαμαρείας καὶ Γαλιλαίας. **12** Καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην, ἀπήντησαν αὐτῷ[x] δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν. **13** Καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες, «Ἰησοῦ, Ἐπιστάτα, ἐλέησον ἡμᾶς.» **14** Καὶ ἰδὼν εἶπεν αὐτοῖς, «Πορευθέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσιν.» Καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. **15** Εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψεν μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν· **16** καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ, εὐχαριστῶν αὐτῷ—καὶ αὐτὸς ἦν Σαμαρείτης.[y] **17** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· «Οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; Οἱ δὲ ἐννέα[z] ποῦ; **18** Οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος.» **19** Καὶ εἶπεν αὐτῷ, «Ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέν σε.»

## *The coming of the Kingdom*

**20** Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ, ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· «Οὐκ ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ μετὰ παρατηρήσεως· **21** οὐδὲ ἐροῦσιν, ‹Ἰδοὺ ὧδε,› ἤ,[a] ‹Ἰδοὺ[b] ἐκεῖ›· ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν.»

**22** Εἶπεν δὲ[c] πρὸς τοὺς μαθητάς· «Ἐλεύσονται ἡμέραι ὅτε ἐπιθυμήσετε[d] μίαν τῶν ἡμερῶν τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε. **23** Καὶ ἐροῦσιν ὑμῖν, ‹Ἰδοὺ ὧδε,› ἤ, ‹Ἰδοὺ ἐκεῖ.›[e] Μὴ ἀπέλθητε μηδὲ διώξητε. **24** Ὥσπερ γὰρ ἡ ἀστραπὴ ἡ[f] ἀστράπτουσα ἐκ τῆς ὑπ᾽[g] οὐρανὸν εἰς τὴν ὑπ᾽ οὐρανὸν λάμπει, οὕτως ἔσται[h] ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ.[i] **25** Πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. **26** Καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις[j] Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου. **27** Ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο,[k] ἄχρι ἧς ἡμέρας εἰσῆλθεν Νῶε εἰς τὴν κιβωτόν, καὶ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἀπώλεσεν ἅπαντας.[l] **28** Ὁμοίως καὶ ὡς[m] ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν—**29** ᾗ δὲ ἡμέρᾳ

---

[v] αυτον **f**$^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- $\mathfrak{P}^{75}$אB [1%] NU
[w] μεσου **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,TR,OC ¦ μεσον $\mathfrak{P}^{75}$אB(D) [0.5%] NU ¦ ανα μεσον [1.5%]
[x] αυτω **f**$^{35}$ אA,N,W [99.7%] CP,HF,RP,TR,OC[NU] ¦ --- $\mathfrak{P}^{75}$B(D) [0.3%]
[y] σαμαρειτης *rell* ¦ σαμαριτης אD,N,W [3.5%] NU ¦ σαμαρειτις [4%] ¦ one other variant
[z] εννεα *rell* ¦ εννε CP
[a] η *rell* ¦ --- [13%] CP ¦ και W
[b] ιδου **f**$^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- $\mathfrak{P}^{75}$אB [1%] NU
[c] δε *rell* ¦ 1 και CP ¦ 1 ουν D
[d] επιθυμησετε *rell* ¦ επιθυμησητε N [10%] ¦ επιθυμησεται אA,W [10%] ¦ επιθυμησηται B
[e] ωδε η ιδου εκει **f**$^{35}$ A [52%] HF,RP,TR ¦ 134 D,W [15%] CP,OC ¦ 1 και 34 [5%] ¦ 1234 ο χριστος N [15%] ¦ 134 ο Χριστος [9%] ¦ 124 [4%] ¦ ~ 4231 $\mathfrak{P}^{75}$B[NU] ¦ ~ 4 και 31 א
[f] η **f**$^{35}$ A,D [88%] CP,HF,RP,TR ¦ --- $\mathfrak{P}^{75}$אB,N,W [12%] OC,NU
[g] ὑπ **f**$^{35}$ N [92%] CP,HF,RP,TR,OC ¦ υπο τον $\mathfrak{P}^{75}$אA,B,D,W [7%] NU (at least 1% have των ουρανων)
[h] εσται **f**$^{35}$ $\mathfrak{P}^{75}$אA,B,W [92.5%] CP,HF,RP,NU ¦ 1 και D,N [7.5%] TR,OC
[i] εν τη ημερα αυτου **f**$^{35}$ אA,N,W [99.7%] CP,HF,RP,TR,OC[NU] ¦ --- $\mathfrak{P}^{75}$B,D
[j] ημεραις *rell* ¦ 1 του [3%] TR
[k] εξεγαμιζοντο **f**$^{35}$ A,N,W [82%] CP,HF,RP,TR,OC ¦ εγαμιζοντο $\mathfrak{P}^{75}$אB,D [18%] NU
[l] απαντας **f**$^{35}$ אA,N,W [98%] CP,HF,RP,TR,OC ¦ παντας $\mathfrak{P}^{75}$B,D [2%] NU
[m] και ως **f**$^{35}$ A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ καθως $\mathfrak{P}^{75}$אB [1.5%] NU

ἐξῆλθεν Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξεν πῦρ καὶ θεῖον ἀπ᾽ οὐρανοῦ καὶ ἀπώλεσεν
ἅπαντας.[n] **30** Κατὰ ταῦτα[o] ἔσται ᾗ ἡμέρᾳ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἀποκαλύπτεται.

**31** »Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὃς ἔσται ἐπὶ τοῦ δώματος, καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ
οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά· καὶ ὁ ἐν τῷ[p] ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ
ὀπίσω. **32** Μνημονεύετε τῆς γυναικὸς Λώτ. **33** Ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ
σῶσαι[q] ἀπολέσει[r] αὐτήν, καὶ ὃς ἐὰν[s] ἀπολέσῃ[t] αὐτὴν[u] ζωογονήσει αὐτήν. **34** Λέγω
ὑμῖν· ταύτῃ τῇ νυκτὶ δύο ἔσονται[v] ἐπὶ κλίνης μιᾶς·[w] εἷς παραληφθήσεται[x] καὶ ὁ ἕτερος
ἀφεθήσεται. **35** Δύο ἔσονται[y] ἀλήθουσαι ἐπὶ τὸ αὐτό·[z] μία παραληφθήσεται[a] καὶ ἡ[b]
ἑτέρα ἀφεθήσεται.»[c]

**37** Καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ, «Ποῦ, Κύριε;» Ὁ δὲ εἶπεν αὐτοῖς, «Ὅπου τὸ
σῶμα,[d] ἐκεῖ συναχθήσονται καὶ οἱ ἀετοί.»[e]

### *Parable of a persistent widow*

**18:1** Ἔλεγεν δὲ καὶ[f] παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι[g] καὶ
μὴ ἐκκακεῖν,[h] **2** λέγων· «Κριτής τις ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος καὶ
ἄνθρωπον μὴ ἐντρεπόμενος. **3** Χήρα δὲ[i] ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτόν,
λέγουσα, ‹Ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου.› **4** Καὶ οὐκ ἤθελεν[j] ἐπὶ χρόνον· μετὰ
δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ, ‹Εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι καὶ ἄνθρωπον οὐκ[k]

---

[n] απαντας **f**$^{35}$ ℵA,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ παντας B,D [2.5%] NU

[o] ταυτα **f**$^{35}$ ℵA,W [94%] CP,HF,RP,TR ¦ τα αυτα B,D,N [6%] OC,NU

[p] τω **f**$^{35}$ A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB [1.5%] NU

[q] σωσαι **f**$^{35}$ ℵA,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ περιποιησασθαι 𝔓$^{75}$B [0.3%] NU ¦ ζωογονησαι (D)

[r] απολεσει *rell* ¦ απολεση W [14%] ¦ one other variant

[s] και ος εαν **f**$^{35}$ A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ 2 δαν 𝔓$^{75}$ℵB [1%] NU ¦ 12 αν D [1%] ¦ three other variants

[t] απολεση *rell* ¦ απολεσει A,N [16%]

[u] αυτην **f**$^{35}$ A,N,W [92.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D [1.5%] NU ¦ 1 ενεκεν εμου [5%] ¦ την ψυχην αυτου [1%]

[v] δυο εσονται **f**$^{35}$ A,N,W [48%] OC ¦ ~ 21 𝔓$^{75}$ℵB(D) [52%] CP,HF,RP,TR,NU

[w] μιας **f**$^{35}$ A,D,N,W [97%] CP,HF,RP,OC ¦ 1 ο 𝔓$^{75}$ℵB [3%] TR,NU

[x] παραληφθησεται *rell* ¦ παραλημφθησεται 𝔓$^{75}$ℵA,B,N,W [1.5%] NU ¦ παραλειφθησεται [4%] ¦ παραλαμβανεται [7%] ¦ παραλαμβανετε D

[y] δυο εσονται **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$B,D,Q [1%] NU ¦ two other variants (ℵ omits verse)

[z] αυτο **f**$^{35}$ A,N,W [89%] CP,HF,RP,TR,OC ¦ 1 η 𝔓$^{75}$B,D,Q [11%] NU

[a] παραληφθησεται *rell* ¦ παραλημφθησεται 𝔓$^{75}$ℵA,B,N,Q,W [1%] NU ¦ παραλειφθησεται [3.5%] ¦ παραλαμβανεται [1.5%]

[b] και η **f**$^{35}$ A,D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 1 δε 𝔓$^{75}$B,Q [1.5%] NU

[c] αφεθησεται **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,N,Q,W [80%] HF,RP,TR,NU ¦ αφεθησεται 36 δυο εσονται (−ε. OC) εν τω αγρω ο (−ο OC) εις παραληφθησεται και ο ετερος αφεθησεται (with variations) (D) [20%] CP, some TRs(OC)

[d] σωμα *rell* ¦ πτωμα [16%]

[e] συναχθησονται και οι αετοι **f**$^{35}$ [29%] ¦ 134 A,D,N,W [68%] CP,HF,RP,TR ¦ ~ 234 επισυναχθησονται ℵB [0.5%] NU ¦ ~ 341 [1%] ¦ επισυναχθησονται 34 Q [1%] ¦ επισυναχθησονται 234 OC

[f] και **f**$^{35}$ A,D,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- ℵB,Q [3%] NU

[g] προσευχεσθαι **f**$^{35}$ D [57%] CP,HF,RP,TR ¦ 1 αυτους ℵA,B,N,Q,W [43%] OC,NU

[h] εκκακειν **f**$^{35}$ W [88%] CP,HF,RP,TR,OC ¦ εγκακειν (ℵA,B,D,Q)N [12%] NU

[i] δε *rell* ¦ 1 τις N [16%]

[j] ηθελεν **f**$^{35}$ ℵA,B,D,N,Q,W [47%] NU ¦ ηθελησεν [53%] CP,HF,RP,TR,OC

[k] και ανθρωπον ουκ **f**$^{35}$ A,D,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ ουδε 2 ℵB [1%] NU

ἐντρέπομαι, **5** διά γε τὸ παρέχειν μοι κόπον[l] τὴν χήραν[m] ταύτην, ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑπωπιάζῃ[n] με.› »

**6** Εἶπεν δὲ ὁ Κύριος· «Ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει. **7** Ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ[o] τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν[p] ἡμέρας καὶ νυκτός, καὶ μακροθυμῶν[q] ἐπ᾽ αὐτοῖς; **8** Λέγω[r] ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει. Πλὴν ὁ Υἱὸς τοῦ Ἀνθρώπου ἐλθών, ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;»

### *Parable of a Pharisee and a publican*

**9** Εἶπεν δὲ[s] πρός τινας τοὺς πεποιθότας ἐφ᾽ ἑαυτοῖς ὅτι εἰσὶν δίκαιοι καὶ ἐξουθενοῦντας τοὺς λοιποὺς τὴν παραβολὴν ταύτην· **10** «Ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος τελώνης. **11** Ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν ταῦτα προσηύχετο· ‹Ὁ Θεός, εὐχαριστῶ σοι ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων—ἅρπαγες, ἄδικοι, μοιχοί—ἢ καὶ ὡς οὗτος ὁ τελώνης. **12** Νηστεύω δὶς τοῦ σαββάτου· ἀποδεκατῶ πάντα ὅσα κτῶμαι.› **13** Καὶ ὁ[t] τελώνης, μακρόθεν ἑστώς, οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν ἐπᾶραι,[u] ἀλλ᾽ ἔτυπτεν εἰς[v] τὸ στῆθος αὐτοῦ λέγων, ‹Ὁ Θεός, ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.› **14** Λέγω ὑμῖν, κατέβη οὗτος δεδικαιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ γὰρ ἐκεῖνος·[w] ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.»

### *You enter the Kingdom like a child does*

**15** Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη, ἵνα αὐτῶν ἅπτηται· ἰδόντες δὲ[x] οἱ μαθηταί,[y] ἐπετίμησαν[z] αὐτοῖς. **16** Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτὰ εἶπεν·[a] «Ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. **17** Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν[b] μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.»

### *An upright, rich ruler*

**18** Καὶ ἐπηρώτησέν τις αὐτὸν ἄρχων λέγων, «Διδάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;» **19** Εἶπεν δὲ αὐτῷ ὁ Ἰησοῦς· «Τί με λέγεις ἀγαθόν; Οὐδεὶς

---

[l] κοπον *rell* ¦ κοπους ℵN [13%]
[m] χηραν *rell* ¦ χηρα [17%]
[n] υπωπιαζη $\mathbf{f}^{35}$ ℵA,B,D,Q [45%] TR,NU ¦ υποπιαζη (N) [42%] CP,HF,RP,OC ¦ υποπιεζη [6.5%] ¦ υποπιαζει [6%] ¦ υποπταζη W ¦ one other variant
[o] ποιηση $\mathbf{f}^{35}$ $\mathfrak{P}^{75}$ℵB,D,N,Q [63%] CP,HF,RP,OC,NU ¦ ποιησει A,W [37%] TR
[p] προς αυτον $\mathbf{f}^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ αυτω $\mathfrak{P}^{75}$ℵB,Q [1%] NU ¦ αυτων D
[q] μακροθυμων $\mathbf{f}^{35}$ N,W [94.5%] CP,HF,RP,TR,OC ¦ μακροθυμει ℵA,B(D)Q [5.5%] NU
[r] λεγω *rell* ¦ ναι 1 N [12%] CP
[s] δε $\mathbf{f}^{35}$ A,W [86%] CP,HF,RP ¦ 1 και $\mathfrak{P}^{75}$ℵB,D,N,Q [14%] TR,OC,NU
[t] και ο $\mathbf{f}^{35}$ A,D,N,Q,W [95%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε $\mathfrak{P}^{75v}$ℵB,T [5%] NU
[u] εις τον ουρανον επαραι $\mathbf{f}^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 4123 ℵB,Q,T [1%] NU
[v] εις $\mathbf{f}^{35}$ A,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,Q,T [5%] NU
[w] η γαρ εκεινος $\mathbf{f}^{35}$ A,N,Q [98%] CP,HF,RP,OC ¦ 13 W [1%] TR ¦ παρ εκεινον ℵB,T [1%] NU ¦ D is wild
[x] ιδοντες δε *rell* ¦ ~ και 1 [1.5%] OC
[y] μαθηται *rell* ¦ 1 αυτου [13%]
[z] επετιμησαν $\mathbf{f}^{35}$ (A)N,W [96%] CP,HF,RP,TR,OC ¦ επετιμων ℵ(B)(D)T [4%] NU
[a] προσκαλεσαμενος αυτα ειπεν $\mathbf{f}^{35}$ A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ προσεκαλεσατο 2 λεγων ℵ [0.5%] NU ¦ προσεκαλειτο 2 λεγων D [2%] ¦ προσεκαλεσατο λεγων B
[b] εαν $\mathbf{f}^{35}$ A,N [97%] CP,HF,RP,TR,OC ¦ αν ℵB,D,W [3%] NU

ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός. **20** Τὰς ἐντολὰς οἶδας· ‹Μὴ μοιχεύσῃς, Μὴ φονεύσῃς, Μὴ
κλέψῃς, Μὴ ψευδομαρτυρήσῃς, Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου.› »[c] **21** Ὁ
δὲ εἶπεν, «Ταῦτα πάντα[d] ἐφυλαξάμην[e] ἐκ νεότητός μου.»[f] **22** Ἀκούσας δὲ ταῦτα[g] ὁ
Ἰησοῦς εἶπεν αὐτῷ, «Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ διάδος[h]
πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ·[i] καὶ δεῦρο, ἀκολούθει μοι.» **23** Ὁ δὲ
ἀκούσας ταῦτα περίλυπος ἐγένετο,[j] ἦν γὰρ πλούσιος σφόδρα.

### *Riches tend to keep people out of the Kingdom*

**24** Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον[k] εἶπεν· «Πῶς δυσκόλως οἱ τὰ
χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.[l] **25** Εὐκοπώτερον γάρ
ἐστιν κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος[m] εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ
Θεοῦ εἰσελθεῖν.» **26** Εἶπον δὲ οἱ ἀκούσαντες, «Καὶ τίς δύναται σωθῆναι;» **27** Ὁ δὲ
εἶπεν, «Τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ ἐστιν παρὰ τῷ Θεῷ.»[n]

**28** Εἶπεν δὲ[o] Πέτρος, «Ἰδού, ἡμεῖς ἀφήκαμεν πάντα καὶ[p] ἠκολουθήσαμέν σοι.»
**29** Ὁ δὲ εἶπεν αὐτοῖς, «Ἀμὴν λέγω ὑμῖν ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ γονεῖς ἢ
ἀδελφοὺς ἢ γυναῖκα[q] ἢ τέκνα, ἕνεκεν τῆς βασιλείας τοῦ Θεοῦ, **30** ὃς οὐ[r] μὴ ἀπολάβῃ[s]
πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.»

### *Jesus declares His coming death and resurrection—third time*

**31** Παραλαβὼν δὲ τοὺς δώδεκα εἶπεν πρὸς αὐτούς· «Ἰδού, ἀναβαίνομεν εἰς
Ἱεροσόλυμα,[t] καὶ τελεσθήσεται[u] πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ Υἱῷ τοῦ
Ἀνθρώπου· **32** Παραδοθήσεται γὰρ τοῖς ἔθνεσιν, καὶ ἐμπαιχθήσεται καὶ ὑβρισθήσεται
καὶ ἐμπτυσθήσεται, **33** καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτόν. Καὶ τῇ ἡμέρᾳ τῇ

---

[c] σου **f**[35] ℵN [80%] CP,HF,RP,TR,OC ¦ --- A,B,D,W [20%] NU
[d] ταυτα παντα *rell* ¦ ~ 21 A,N [11%]
[e] εφυλαξαμην **f**[35] D,N,W [98%] CP,HF,RP,TR,OC ¦ εφυλαξα ℵA,B [2%] NU
[f] μου **f**[35] ℵA,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- B,D,NU
[g] ταυτα **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1.5%] NU
[h] διαδος *rell* ¦ δος ℵA,D,N [11%]
[i] ουρανω **f**[35] N,W [98.5%] CP,HF,RP,TR,OC ¦ ουρανοις ℵA [1%] ¦ τοις ουρανοις B,D[NU] ¦ two other variants
[j] εγενετο **f**[35] A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ εγενηθη ℵB [0.3%] NU
[k] περιλυπον γενομενον **f**[35] A(D)N,W (98.9%) CP,HF,RP,TR,OC[NU] ¦ 1 (0.2%) ¦ --- ℵ(B) (0.9%)
[l] εισελευσονται εις την βασιλειαν του θεου **f**[35] A,N,W [88%] CP,HF,RP,TR,OC ¦ ~ 234561 ℵD [1%] ¦ ~ 23456 εισπορευονται B [0.2%] NU ¦ 1234 των ουρανων [11%]
[m] τρυμαλιας ραφιδος **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ 1 βελονης [1%] ¦ τρηματος βελονης ℵB,D,NU ¦ τρυπηματος βελονης [1%]
[n] εστιν παρα τω θεω **f**[35] A,N [92%] CP,HF,RP,TR ¦ ~ 2341 ℵB [6%] OC,NU ¦ 124 [2%] ¦ ~ 241 D,W
[o] δε **f**[35] A,W [85%] CP,HF,RP ¦ 1 ο ℵB,D,N [15%] TR,OC,NU
[p] αφηκαμεν παντα και **f**[35] ℵA,N,W [98%] CP,HF,RP,TR,OC ¦ αφεντες τα ιδια B [0.2%] NU ¦ τα ιδια αφεντες D ¦ αφεντες 2 τα ιδια [1%] ¦ 2 τα ιδια αφεντες [0.5%]
[q] γονεις η αδελφους η γυναικα **f**[35] A,N,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 52341 ℵB [0.5%] NU ¦ 123 η αδελφας 45 D [2%] ¦ several other variants
[r] ος ου **f**[35] A,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ 1 ουχι ℵB [1%] NU ¦ και 2 Q [1.5%] ¦ 1 [2%] ¦ εαν D
[s] απολαβη **f**[35] ℵA,N,W [92%] CP,HF,RP,TR,OC[NU] ¦ λαβη B,D [8%]
[t] ιεροσολυμα **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ ιερουσαλημ ℵB,D [1%] NU
[u] τελεσθησεται *rell* ¦ τελειωθησεται [3%] OC

τρίτη[v] ἀναστήσεται.» **34** Καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ᾽ αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.

### *A blind man near Jericho*

**35** Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἰεριχώ, τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν
προσαιτῶν.[w] **36** Ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί[x] εἴη τοῦτο.[y]
**37** Ἀπήγγειλαν δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. **38** Καὶ ἐβόησεν λέγων,
«Ἰησοῦ, Υἱὲ Δαυίδ, ἐλέησόν με.» **39** Καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ·[z]
αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν, «Υἱὲ Δαυίδ, ἐλέησόν με.» **40** Σταθεὶς δὲ ὁ Ἰησοῦς
ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. Ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτησεν αὐτὸν
λέγων,[a] **41** «Τί σοι θέλεις ποιήσω;» Ὁ δὲ εἶπεν, «Κύριε, ἵνα ἀναβλέψω.» **42** Καὶ ὁ
Ἰησοῦς εἶπεν αὐτῷ· «Ἀνάβλεψον· ἡ πίστις σου σέσωκέν σε.» **43** Καὶ παραχρῆμα
ἀνέβλεψεν, καὶ ἠκολούθει αὐτῷ δοξάζων τὸν Θεόν. Καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν
αἶνον τῷ Θεῷ.

### *Zacchaeus*

**19:1** Καὶ εἰσελθὼν[b] διήρχετο τὴν Ἰεριχώ. **2** Καὶ ἰδού, ἀνὴρ ὀνόματι καλούμενος
Ζακχαῖος—καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν[c] πλούσιος. **3** Καὶ ἐζήτει ἰδεῖν τὸν
Ἰησοῦν τίς ἐστιν, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. **4** Καὶ
προδραμὼν[d] ἔμπροσθεν[e] ἀνέβη ἐπὶ συκομοραίαν,[f] ἵνα ἴδῃ αὐτόν, ὅτι[g] ἐκείνης
ἤμελλεν[h] διέρχεσθαι. **5** Καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτόν,
καὶ[i] εἶπεν πρὸς αὐτόν, «Ζακχαῖε, σπεύσας κατάβηθι, σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ
με μεῖναι.» **6** Καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. **7** Καὶ ἰδόντες,
πάντες[j] διεγόγγυζον, λέγοντες ὅτι «Παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθεν καταλῦσαι.»

**8** Σταθεὶς δὲ Ζακχαῖος εἶπεν πρὸς τὸν Κύριον,[k] «Ἰδού, τὰ ἡμίσῃ[l] τῶν ὑπαρχόντων
μου,[m] Κύριε, δίδωμι τοῖς πτωχοῖς,[n] καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι

---

[v] ημερα τη τριτη *rell* ¦ ~ 32 [20%]
[w] προσαιτων **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ επαιτων ℵB(D)Q,T [0.5%] NU
[x] τι **f**[35] ℵA,B,T,W [70%] CP,HF,RP,TR,OC,NU ¦ 1 αν D,Q [30%]
[y] τουτο *rell* ¦ ταυτα [1%] OC
[z] σιωπηση **f**[35] ℵA,Q [95.5%] CP,HF,RP,TR,OC ¦ σιωπησει [2%] ¦ σιγηση (B,D,W)T [2.5%] NU
[a] λεγων **f**[35] A,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,T [1.5%] NU
[b] εισελθων *rell* ¦ 1 ο ιησους [13%] ¦ two other variants
[c] ουτος ην **f**[35] A(W)Q [92%] CP,HF,RP,TR,OC ¦ αυτος 2 [1%] ¦ αυτος B,T [6%] NU ¦ 2 ℵ [1%] ¦ --- D
[d] προδραμων **f**[35] ℵA,B,Q [67%] HF,RP,TR,OC,NU ¦ προσδραμων T,W [20%] CP ¦ δραμων [13%] ¦ προλαβων D
[e] εμπροσθεν **f**[35] A,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ εις το 1 ℵB,T [1%] NU
[f] συκομοραιαν **f**[35] [58%] ¦ συκομωραιαν T,W [33%] HF,RP,TR ¦ συκομωρεαν D,Q [7%] CP ¦ συκομορεαν ℵB [2%] OC,NU ¦ συκωμοραιαν A
[g] οτι **f**[35] ℵA,B(D)Q,T,W [75%] CP,HF,RP,OC,NU ¦ 1 δι [25%] TR
[h] ημελλεν **f**[35] ℵA,B,D,Q,T,W [60%] TR,OC,NU ¦ εμελλεν [40%] CP,HF,RP
[i] ειδεν αυτον και **f**[35] A(D)Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,T [1%] NU
[j] παντες **f**[35] ℵA,B,D,Q,T,W [90%] CP,HF,RP,OC,NU ¦ απαντες [10%] TR
[k] κυριον *rell* ¦ ιησουν [21%]
[l] ημιση **f**[35] Q [96.5%] CP,HF,RP,TR,OC ¦ ημισια ℵB [2%] NU ¦ ημισεια [0.5%] ¦ ημισυ A(W) [1%] ¦ ημυσοι D
[m] των υπαρχοντων μου **f**[35] A,Q,W [89%] CP,HF,RP,TR,OC ¦ ~ 312 ℵB [1%] NU ¦ 12 μοι D [10%]
[n] διδωμι τοις πτωχοις **f**[35] A,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 231 ℵ,D,Q [1%] NU ¦ 13 [2%] ¦ ~ 31 B

τετραπλοῦν.» **9** Εἶπεν δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς ὅτι «Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν· **10** ἦλθεν γὰρ ὁ Υἱὸς τοῦ Ἀνθρώπου ζητῆσαι[o] καὶ σῶσαι τὸ ἀπολωλός.»

### *Parable of the despised king*

**11** Ἀκουόντων δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπεν παραβολήν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἱερουσαλὴμ[p] καὶ δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ Θεοῦ ἀναφαίνεσθαι. **12** Εἶπεν οὖν· «Ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι. **13** Καλέσας δὲ δέκα δούλους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς δέκα μνᾶς, καὶ εἶπεν πρὸς αὐτούς, ‹Πραγματεύσασθε[q] ἕως[r] ἔρχομαι.› **14** Οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτόν, καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ λέγοντες, ‹Οὐ θέλομεν[s] τοῦτον βασιλεῦσαι ἐφ᾽ ἡμᾶς.› **15** Καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτόν, λαβόντα τὴν βασιλείαν,[t] εἶπεν φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους οἷς ἔδωκεν[u] τὸ ἀργύριον, ἵνα γνῷ[v] τίς τί διεπραγματεύσατο.[w] **16** Παρεγένετο δὲ ὁ πρῶτος λέγων, ‹Κύριε, ἡ μνᾶ[x] σου προσειργάσατο δέκα[y] μνᾶς.› **17** Καὶ εἶπεν αὐτῷ· ‹Εὖ,[z] ἀγαθὲ δοῦλε· ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων.› **18** Καὶ ἦλθεν ὁ δεύτερος λέγων, ‹Κύριε, ἡ μνᾶ[a] σου[b] ἐποίησεν πέντε μνᾶς.› **19** Εἶπεν δὲ καὶ τούτῳ, ‹Καὶ σὺ γίνου ἐπάνω[c] πέντε πόλεων.› **20** Καὶ ἕτερος[d] ἦλθεν λέγων· ‹Κύριε, ἰδοὺ ἡ μνᾶ[e] σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ— **21** ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας καὶ θερίζεις ὃ οὐκ ἔσπειρας.›[f] **22** Λέγει δὲ[g] αὐτῷ· ‹Ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε. Ἤδεις ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων[h] ὃ οὐκ ἔθηκα καὶ θερίζων ὃ οὐκ

---

[o] ζητησαι *rell* ¦ ζητεισαι CP

[p] αυτον ειναι ιερουσαλημ **f**$^{35}$ A(D)W [96%] CP,HF,RP,TR,OC ¦ ~ 213 Q [3%] ¦ ~ 231 ℵB [0.5%] NU ¦ three other variants

[q] πραγματευσασσθε *rell* ¦ πραγματευσασθαι ℵA [1%] ¦ πραγματευεσθε [11%] ¦ πραγματευεσθαι D,W [1.5%]

[r] εως **f**$^{35}$ [91%] CP,HF,RP,TR ¦ εν ω ℵA,B,D,W [9%] OC,NU

[s] θελομεν *rell* ¦ θελωμεν [18%]

[t] βασιλειαν **f**$^{35}$ [37%] CP ¦ 1 και ℵA,B,D,W [63%] HF,RP,TR,OC,NU

[u] εδωκεν **f**$^{35}$ A,W [93%] CP,HF,RP,TR,OC ¦ δεδωκει ℵB,D [3%] NU ¦ εδωθη [1%] ¦ δεδωκε [1.5%] ¦ εδεδωκει [1.5%]

[v] γνω **f**$^{35}$ A,W [98%] CP,HF,RP,TR ¦ γνοι ℵB,D [0.5%] NU ¦ επιγνω [1.5%] OC

[w] τις τι διεπραγματευσατο **f**$^{35}$ A (93.3%) CP,HF,RP,TR,OC ¦ 12 επραγματευσατο W (5.3%) ¦ 2 διεπραγματευσαντο ℵB,D (0.7%) NU ¦ 12 διεπραξατο (0.7%) (There are a number of small variations, but all told only 0.8% omit τις and 0.7% omit τι, while there are at least eight further variations of the verb.)

[x] μνα **f**$^{35}$ ℵA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ μνας [45%]

[y] προσειργασατο δεκα **f**$^{35}$ W [94%] CP,HF,RP,TR,OC ¦ προσηργασατο 2 A [2%] ¦ ειργασατο 2 [1.5%] ¦ εποιησε 2 [1.5%] ¦ ~ 2 προσηργασατο (ℵ)B(D) [1%] NU

[z] ευ **f**$^{35}$ ℵA,W [99.8%] CP,HF,RP,TR,OC ¦ ευγε B,D [0.2%] NU

[a] μνα **f**$^{35}$ ℵA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ μνας N [45%]

[b] κυριε η μνα σου **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 ℵB [0.3%] NU ¦ ~ 2 μνας 41 [0.2%]

[c] γινου επανω **f**$^{35}$ (A)(D)N(W) [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 (ℵB) [1%] NU

[d] ετερος **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,TR,OC ¦ ο 1 B,D [2%] NU ¦ οτερος ℵ

[e] μνα **f**$^{35}$ ℵA,B,D,W [55%] CP,HF,RP,TR,OC,NU ¦ μνας N [45%]

[f] εσπειρας *rell* ¦ 1 και συναγεις οθεν ου διεσκορπισας N [13%] OC

[g] δε **f**$^{35}$ A,W [73%] CP,HF,RP,TR ¦ --- ℵB,N [27%] OC,NU ¦ ο 1 ειπεν D

[h] εγω ανθρωπος αυστηρος ειμι *rell* ¦ ~ 2341 OC

ἔσπειρα.[i] **23** Καὶ διὰ τί οὐκ ἔδωκας τὸ ἀργύριόν μου[j] ἐπὶ τὴν τράπεζαν,[k] καὶ ἐγὼ[l]
ἐλθὼν[m] σὺν τόκῳ ἂν ἔπραξα αὐτό;›[n] **24** Καὶ τοῖς παρεστῶσιν εἶπεν, ‹Ἄρατε ἀπ᾽ αὐτοῦ
τὴν μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι.› **25** (Καὶ εἶπον[o] αὐτῷ, ‹Κύριε, ἔχει δέκα
μνᾶς.›) **26** ‹Λέγω γὰρ[p] ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος,
καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ.[q] **27** Πλὴν τοὺς ἐχθρούς μου ἐκείνους,[r] τοὺς μὴ
θελήσαντάς με βασιλεῦσαι ἐπ᾽ αὐτούς, ἀγάγετε ὧδε καὶ κατασφάξατε[s] ἔμπροσθέν
μου.› »

## The last week

### *The 'Triumphal Entry'*

**19:28** Καὶ εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν, ἀναβαίνων εἰς Ἱεροσόλυμα. **29** Καὶ
ἐγένετο ὡς ἤγγισεν εἰς Βηθσφαγῆ[t] καὶ Βηθανίαν,[u] πρὸς τὸ ὄρος τὸ καλούμενον
Ἐλαιῶν, ἀπέστειλεν δύο τῶν μαθητῶν αὐτοῦ[v] **30** εἰπών·[w] «Ὑπάγετε εἰς τὴν κατέναντι
κώμην, ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽ ὃν οὐδεὶς πώποτε
ἀνθρώπων ἐκάθισεν.[x] Λύσαντες αὐτὸν ἀγάγετε. **31** Καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, ‹Διὰ τί
λύετε;› οὕτως ἐρεῖτε αὐτῷ[y] ὅτι ‹Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.› »

A steed for the King

**32** Ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς.[z] **33** Λυόντων δὲ
αὐτῶν τὸν πῶλον, εἶπον[a] οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς, «Τί λύετε τὸν πῶλον;» **34** Οἱ
δὲ εἶπον,[b] «Ὁ Κύριος αὐτοῦ χρείαν ἔχει.» **35** Καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν· καὶ
ἐπιρρίψαντες[c] ἑαυτῶν[d] τὰ ἱμάτια ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν.
**36** Πορευομένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν[e] ἐν τῇ ὁδῷ.

---

[i] εσπειρα *rell* ¦ 1 και συναγων οθεν ου διεσκορπισα N [5%] OC (with variations [3%])
[j] το αργυριον μου **f**[35] D,N [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 ℵA,B,W [1.5%] NU
[k] την τραπεζαν **f**[35] [23%] TR,OC ¦ 2 ℵA,B,D,N,W [77%] HF,RP,NU ¦ της τραπεζιταις CP
[l] και εγω **f**[35] A,N,W [99%] (CP)HF,RP,TR,OC ¦ καγω ℵB,D [1%] NU
[m] εγω ελθων *rell* ¦ ~ 21 [3%] CP
[n] επραξα αυτο **f**[35] D,N,W [89.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB [0.5%] NU ¦ ~ 2 ανεπραξα A ¦ 1 αυτω [10%]
[o] ειπον *rell* ¦ ειπαν ℵB [0.5%] NU ¦ --- (D,W)
[p] γαρ **f**[35] A D,N,W [96%] CP,HF,RP,TR,OC ¦ --- (ℵ)B [4%] NU
[q] απ αυτου **f**[35] A,D,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- ℵB [0.2%] NU
[r] εκεινους **f**[35] A(D)N,W [91%] CP,HF,RP,TR,OC ¦ τουτους ℵB [8%] NU ¦ --- [1%]
[s] κατασφαξατε **f**[35] A,D,W [96%] CP,HF,RP,TR ¦ 1 αυτους (ℵ)B,N [4%] OC,NU
[t] βηθσφαγη **f**[35] B [53%] CP,HF,RP,OC ¦ βηθφαγη ℵA,D,N,W [43%] TR,NU ¦ βηθσφαγην [3%] ¦ βηθφαγην [1%] [Three consonants in a row are decidedly more difficult to pronounce than two—it is hard to imagine why anyone would add the *sigma*.]
[u] βηθανιαν **f**[35] A,N,W [94%] CP,HF,RP,TR,OC[NU] ¦ βιθανιαν [5.5%] ¦ βηθανια ℵB,D [0.5%]
[v] αυτου **f**[35] A,D,N,W [99.7%] CP,HF,RP,TR,OC ¦ --- ℵB [0.3%] NU
[w] ειπων **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ λεγων ℵB,D [1.5%] NU
[x] εκαθισεν **f**[35] ℵA,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 και B [1%] NU ¦ long omission D
[y] αυτω **f**[35] A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ αυτον [1%] ¦ --- ℵB,D [1.5%] NU
[z] αυτοις *rell* ¦ 1 εστωτα τον πωλον [4%] OC
[a] ειπον *rell* ¦ ειπαν ℵB [0.5%] NU ¦ one other variant (also in verse 34)
[b] ειπον **f**[35] [72%] CP,HF,RP,TR ¦ 1 οτι ℵA,B,D,N,W [28%] OC,NU
[c] επιρριψαντες **f**[35] [90%] CP,HF,RP,TR,OC ¦ επιριψαντες ℵA,B,N,W [10%] NU ¦ επεριψαν D
[d] εαυτων **f**[35] A,N,W [92%] CP,HF,RP,TR,OC ¦ αυτων ℵB(D) [8%] NU
[e] αυτων *rell* ¦ εαυτων A,B,N,W [12%]

Rejoicing and praising

**37** Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ Ὄρους τῶν Ἐλαιῶν, ἤρξαντο[f] ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων, **38** λέγοντες· «Εὐλογημένος ὁ ἐρχόμενος[g] Βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ[h] καὶ δόξα ἐν ὑψίστοις.»

A sour note

**39** Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον[i] πρὸς αὐτόν, «Διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου.» **40** Καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς,[j] «Λέγω ὑμῖν ὅτι[k] ἐὰν οὗτοι σιωπήσωσιν,[l] οἱ λίθοι κεκράξονται.»[m]

Jesus weeps over Jerusalem

**41** Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ᾽ αὐτῇ,[n] **42** λέγων ὅτι «Εἰ ἔγνως καὶ σύ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ,[o] τὰ πρὸς εἰρήνην σου·[p] νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου. **43** Ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ περιβαλοῦσιν[q] οἱ ἐχθροί σου χάρακά σοι· καὶ περικυκλώσουσίν σε καὶ συνέξουσίν σε πάντοθεν. **44** Καὶ ἐδαφιοῦσίν σε, καὶ τὰ τέκνα σου ἐν σοί—καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ λίθον ἐπὶ λίθῳ[r]— ἀνθ᾽ ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.»

Jesus cleanses the temple

**45** Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας,[s] **46** λέγων αὐτοῖς, «Γέγραπται·[t] ‹Ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν,›[u] ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν.»

**47** Καὶ ἦν διδάσκων τὸ καθ᾽ ἡμέραν ἐν τῷ ἱερῷ· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι, καὶ οἱ πρῶτοι τοῦ λαοῦ, **48** καὶ οὐχ εὕρισκον τὸ τί ποιήσουσιν,[v] ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων.

---

[f] ηρξαντο **f**$^{35}$ אA,B,N [70%] CP,HF,RP,TR,NU ¦ ηρξατο D,W [30%] OC

[g] ερχομενος **f**$^{35}$ A,N(W) [99.5%] CP,HF,RP,TR,OC ¦ 1 ο (א)B(D) [0.5%] NU

[h] ειρηνη εν ουρανω **f**$^{35}$ D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 B [0.5%] NU ¦ 12 ουρανοις A ¦ 232 ιρηνη א

[i] ειπον *rell* ¦ ειπαν אA,B,D [0.5%] NU

[j] αυτοις **f**$^{35}$ A(D)(N)W [99.5%] CP,HF,RP,TR,OC ¦ --- אB [0.5%] NU

[k] οτι **f**$^{35}$ אA,D,N [95.5%] CP,HF,RP,TR,OC ¦ --- B,W [4.5%] NU

[l] σιωπησωσιν **f**$^{35}$ [97.5%] CP,HF,RP,TR,OC ¦ σιωπησουσιν אA,B,N,W [2.5%] NU ¦ σειγησουσιν D

[m] κεκραξονται **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ κραξουσιν אB [0.2%] NU ¦ κραζονται D ¦ one other variant

[n] αυτη **f**$^{35}$ N [78%] CP,HF,RP,TR,OC ¦ αυτην אA,B,D,W [22%] NU

[o] και συ (σοι 1.1%) και γε εν τη ημερα σου ταυτη **f**$^{35}$ N,W (88.1%) CP,HF,RP,TR,OC ¦ 1234567-9 A (9.3%) ¦ ~ 567912 אB (1%) NU ¦ 125679 D (0.2%) ¦ 12345 ταις ημεραις ταυταις (1.1%) ¦ three other readings (0.2%)

[p] σου **f**$^{35}$ (A)N,W [93%] CP,HF,RP,TR,OC ¦ σοι D [7%] ¦ --- אB [0.3%] NU

[q] περιβαλουσιν **f**$^{35}$ A,B,W [95%] CP,HF,RP,TR,OC ¦ περιβαλλουσιν [4%] ¦ παρεμβαλουσιν אC [1%] NU ¦ παραβαλουσιν N ¦ βαλουσιν (D) ¦ one other variant

[r] εν σοι λιθον επι λιθω **f**$^{35}$ A,C,N,W [90%] CP,HF,RP,TR,OC ¦ 12343 [8%] ¦ ~ 34312 אB [0.5%] NU ¦ ~ 3431 ολη 2 D [0.5%] ¦ eight other variants [1%]

[s] εν αυτω και αγοραζοντας **f**$^{35}$ A,D,W [97%] CP,HF,RP,TR,OC ¦ 34 N [2%] ¦ 3 τους 4 C ¦ --- אB [1%] NU

[t] γεγραπται **f**$^{35}$ א [82%] CP,HF,RP,TR ¦ 1 οτι A,C,D,N,W [15%] OC ¦ 1 και εσται B [2%] NU ¦ --- [1%]

[u] εστιν **f**$^{35}$ A,C,D,N,W [93%] CP,HF,RP,TR,OC ¦ κληθησεται [5%] ¦ --- אB [2%] NU

[v] ποιησουσιν **f**$^{35}$ W [44%] CP,OC ¦ ποιησωσιν אA,B,C,D,N,Q [56%] HF,RP,TR,NU

## *Jesus' authority questioned*

**20:1** Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων,[w] διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν
τῷ ἱερῷ καὶ εὐαγγελιζομένου, ἐπέστησαν οἱ ἱερεῖς[x] καὶ οἱ[y] γραμματεῖς σὺν τοῖς
πρεσβυτέροις **2** καὶ εἶπον[z] πρὸς αὐτὸν λέγοντες,[a] «Εἰπὲ ἡμῖν[b] ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα
ποιεῖς· ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην;» **3** Ἀποκριθεὶς δὲ εἶπεν πρὸς
αὐτούς· «Ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον,[c] καὶ εἴπατέ μοι· **4** Τὸ βάπτισμα Ἰωάννου—
ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων;» **5** Οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς λέγοντες ὅτι
«Ἐὰν εἴπωμεν, ‹Ἐξ οὐρανοῦ,› ἐρεῖ, ‹Διὰ τί[d] οὐκ ἐπιστεύσατε αὐτῷ;› **6** Ἐὰν δὲ
εἴπωμεν, ‹Ἐξ ἀνθρώπων,› πᾶς ὁ λαὸς[e] καταλιθάσει ἡμᾶς, πεπεισμένος γάρ ἐστιν
Ἰωάννην προφήτην εἶναι.» **7** Καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. **8** Καὶ ὁ Ἰησοῦς
εἶπεν αὐτοῖς, «Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.»

## *Parable of some perverse tenants*

**9** Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην· «Ἄνθρωπος[f]
ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο[g] αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν χρόνους
ἱκανούς. **10** Καὶ ἐν[h] καιρῷ ἀπέστειλεν πρὸς τοὺς γεωργοὺς δοῦλον, ἵνα ἀπὸ τοῦ
καρποῦ τοῦ ἀμπελῶνος δῶσιν[i] αὐτῷ. Οἱ δὲ γεωργοὶ δήραντες[j] αὐτὸν ἐξαπέστειλαν[k]
κενόν. **11** Καὶ προσέθετο[l] πέμψαι ἕτερον[m] δοῦλον· οἱ δὲ κἀκεῖνον δήραντες[n] καὶ
ἀτιμάσαντες ἐξαπέστειλαν κενόν. **12** Καὶ προσέθετο πέμψαι τρίτον·[o] οἱ δὲ καὶ τοῦτον
τραυματίσαντες ἐξέβαλον. **13** Εἶπεν δὲ ὁ κύριος τοῦ ἀμπελῶνος· ‹Τί ποιήσω; Πέμψω
τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες[p] ἐντραπήσονται.› **14** Ἰδόντες δὲ

---

[w] εκεινων $\mathbf{f}^{35}$ A,C,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D,Q [3.5%] NU
[x] ιερεις $\mathbf{f}^{35}$ A,W [84%] HF,RP,OC ¦ αρχιερεις ℵB,C,D,N,Q [16%] CP,TR,NU
[y] οι *rell* ¦ --- A [15%]
[z] ειπον *rell* ¦ ειπαν ℵB [1%] NU
[a] προς αυτον λεγοντες $\mathbf{f}^{35}$ A,N,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ 12 C,D [1.5%] ¦ ~ 312 ℵB [1%] NU
[b] ειπε ημιν $\mathbf{f}^{35}$ A,D,N,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ ειπον 2 B [1%] NU ¦ --- ℵC [1.5%]
[c] ενα λογον $\mathbf{f}^{35}$ C,D,N,Q [82%] CP,HF,RP,TR,OC ¦ ~ 21 A [16%] ¦ 2 ℵB,W [2%] NU
[d] τι $\mathbf{f}^{35}$ ℵB,W [83%] CP,HF,RP,NU ¦ 1 ουν A,C,D,N,Q [17%] TR,OC
[e] πας ο λαος $\mathbf{f}^{35}$ A,C,N,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 23 απας ℵB(D) [1.5%] NU
[f] ανθρωπος $\mathbf{f}^{35}$ ℵB(C,D)N,Q [87%] CP,HF,RP ¦ 1 τις A,W [13%] TR,OC[NU]
[g] εξεδοτο $\mathbf{f}^{35}$ D,N,Q,W [99.5%] CP,HF,RP,TR,OC,UBS ¦ εξεδετο ℵA,B,C [0.5%] N-A (One of the rare places where UBS and N-A are not the same.)
[h] εν $\mathbf{f}^{35}$ A,W [93%] CP,HF,RP,TR ¦ 1 τω C,N,Q [6%] OC ¦ τω [0.5%] ¦ --- ℵB(D) [0.5%] NU
[i] δωσιν $\mathbf{f}^{35}$ C,D,N,W [93%] CP,HF,RP,TR ¦ δωσουσιν ℵA,B,Q [4%] OC,NU ¦ --- [3%] ¦ one other variant
[j] δηραντες $\mathbf{f}^{35}$ [20%] ¦ δειραντες ℵA,B,C(D)N,Q,W [80%] CP,HF,RP,TR,OC,NU (Is the verb δαιρω or δερω? By far the more common, the literal meaning of δερω is to skin or flay a dead animal, to beat or whip being a derived meaning. Some have doubted the independent existence of δαιρω, but it occurs in Hermas, *sim*.6.2.6 [2nd cent.]. The meaning is presumably 'to beat severely'. That many copyists might change an unfamiliar form to a closely related familiar one is not hard to imagine, but who would change a familiar one to an unfamiliar one?)
[k] δηραντες αυτον εξαπεστειλαν $\mathbf{f}^{35}$ A,C(D)N,Q [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 321 ℵB [0.3%] NU ¦ 12 απεστειλαν [2.5%] ¦ 1232 W [0.5%]
[l] προσεθετο *rell* ¦ 1 αυτοις Q [2%] OC
[m] πεμψαι ετερον $\mathbf{f}^{35}$ N,Q,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵA,B [4%] NU ¦ επεμψεν 2 D ¦ 1 αυτοις 2 C
[n] δηραντες $\mathbf{f}^{35}$ [20%] ¦ δειραντες ℵA,B,C,D,N,Q,W [80%] CP,HF,RP,TR,OC,NU
[o] πεμψαι τριτον $\mathbf{f}^{35}$ A,C,N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB [1%] NU ¦ ~ 2 επεμψεν D
[p] ιδοντες $\mathbf{f}^{35}$ A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,C,D,Q [1.5%] NU

αὐτὸν οἱ γεωργοί, διελογίζοντο πρὸς ἑαυτοὺς[q] λέγοντες· ‹Οὗτός ἐστιν ὁ κληρονόμος.
Δεῦτε,[r] ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία.› **15** Καὶ ἐκβαλόντες[s]
ἔξω τοῦ ἀμπελῶνος, ἀπέκτειναν. Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος;
**16** Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις.»
Ἀκούσαντες δὲ εἶπον,[t] «Μὴ γένοιτο.»

**17** Ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπεν· «Τί οὖν ἐστιν τὸ γεγραμμένον τοῦτο· ‹Λίθον ὃν
ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας›; **18** Πᾶς ὁ
πεσὼν ἐπ᾽ ἐκεῖνον τὸν λίθον συνθλασθήσεται· ἐφ᾽ ὃν δ᾽ ἂν πέσῃ—λικμήσει αὐτόν.»

**19** Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς[u] ἐπιβαλεῖν ἐπ᾽ αὐτὸν τὰς χεῖρας ἐν
αὐτῇ τῇ ὥρᾳ· καὶ ἐφοβήθησαν[v]—ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν
ταύτην εἶπεν.[w]

### *To Caesar, Caesar's; to God, God's*

**20** Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς
δικαίους εἶναι, ἵνα ἐπιλάβωνται[x] αὐτοῦ λόγου,[y] εἰς τὸ[z] παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ
τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. **21** Καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· «Διδάσκαλε, οἴδαμεν
ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον ἀλλ᾽ ἐπ᾽ ἀληθείας τὴν
ὁδὸν τοῦ Θεοῦ διδάσκεις. **22** Ἔξεστιν ἡμῖν[a] Καίσαρι φόρον δοῦναι, ἢ οὔ;»

**23** Κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν εἶπεν πρὸς αὐτούς· «Τί με πειράζετε;[b]
**24** Ἐπιδείξατέ[c] μοι δηνάριον[d]—τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν;» Ἀποκριθέντες[e] δὲ
εἶπον,[f] «Καίσαρος.» **25** Ὁ δὲ εἶπεν αὐτοῖς,[g] «Ἀπόδοτε τοίνυν[h] τὰ Καίσαρος Καίσαρι,
καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ.» **26** Καὶ οὐκ ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον
τοῦ λαοῦ· καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει αὐτοῦ, ἐσίγησαν.

---

[q] εαυτους **f**$^{35}$ A,C,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ αλληλους ℵB,D [1.5%] NU ¦ two other variants [0.5%]
[r] δευτε **f**$^{35}$ ℵC,D [90%] CP,HF,RP,TR,OC ¦ --- A,B,N,Q,W [10%] NU
[s] εκβαλοντες **f**$^{35}$ [24%] ¦ 1 αυτον ℵA,B,D,N,Q,W [76%] CP,HF,RP,TR,OC,NU ¦ λαβοντες αυτον εξεβαλον C (some 7% have εκβαλλοντες)
[t] ειπον *rell* ¦ ειπαν ℵB,D,Q [1.5%] NU
[u] αρχιερεις και οι γραμματεις **f**$^{35}$ ℵD,N [88%] CP,HF,RP,TR,OC ¦ ~ 4231 A,B,W [12%] NU ¦ ~ 423 φαρισαιοι C ¦ three other variants
[v] εφοβηθησαν **f**$^{35}$ [65%] CP,HF,RP ¦ 1 τον λαον ℵA,B,C(D) [35%] TR,OC,NU ¦ 1 τον οχλον N,W
[w] την παραβολην ταυτην ειπεν **f**$^{35}$ A,C,N,W [93%] CP,HF,RP,TR ¦ ~ 4123 ℵB [3%] NU ¦ ~ ειρηκεν 123 D ¦ 124 [3%] ¦ τας παραβολας ελεγεν [1%] OC ¦ two other variants
[x] επιλαβωνται *rell* ¦ επιλαβονται [21%]
[y] λογου *rell* ¦ λογον C,N [18%] ¦ λογων D
[z] εις το **f**$^{35}$ A,N,W [99%] (CP)HF,RP,TR,OC ¦ ωστε ℵB,C,D [1%] NU
[a] ημιν **f**$^{35}$ C(D)W [97.5%] CP,HF,RP,TR,OC ¦ ημας ℵA,B [2.5%] NU ¦ --- N ¦ one other variant
[b] τι με πειραζετε **f**$^{35}$ A(C)D,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB [1.5%] NU
[c] επιδειξατε **f**$^{35}$ C,N [85%] CP,HF,RP,TR ¦ δειξατε ℵA,B,D,W [15%] OC,NU
[d] δηναριον *rell* ¦ 1 οι δε εδειξαν και ειπε (ℵ)C,N [20%] (plus several minor variations)
[e] αποκριθεντες **f**$^{35}$ A,C(D,W) [97%] CP,HF,RP,TR,OC ¦ οι ℵB,N [3%] NU
[f] ειπον *rell* ¦ ειπαν ℵB,C [0.5%] NU
[g] αυτοις **f**$^{35}$ A,C,D,N,W [97%] CP,HF,RP,TR,OC ¦ προς αυτους ℵB [3%] NU
[h] αποδοτε τοινυν **f**$^{35}$ A,C,N,W [92%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB [2%] NU ¦ 1 D ¦ 1 ουν [6%]

**27** Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ ἀντιλέγοντες[i] ἀνάστασιν μὴ εἶναι,[j]
ἐπηρώτησαν αὐτὸν **28** λέγοντες· «Διδάσκαλε, Μωσῆς[k] ἔγραψεν ἡμῖν, ἐάν τινος
ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα καὶ οὗτος ἄτεκνος ἀποθάνῃ,[l] ἵνα ὁ ἀδελφὸς αὐτοῦ
λάβῃ[m] τὴν γυναῖκα καὶ ἐξαναστήσῃ[n] σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. **29** Ἑπτὰ οὖν ἀδελφοὶ
ἦσαν· καὶ ὁ πρῶτος λαβὼν γυναῖκα ἀπέθανεν ἄτεκνος· **30** καὶ ἔλαβεν[o] ὁ δεύτερος τὴν
γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος·[p] **31** καὶ ὁ τρίτος ἔλαβεν αὐτήν·[q] ὡσαύτως δὲ
καὶ οἱ ἑπτά[r]—οὐ κατέλιπον[s] τέκνα, καὶ ἀπέθανον. **32** Ὕστερον δὲ πάντων,[t] ἀπέθανεν
καὶ ἡ γυνή.[u] **33** Ἐν τῇ οὖν[v] ἀναστάσει,[w] τίνος αὐτῶν γίνεται γυνή; Οἱ γὰρ ἑπτὰ ἔσχον
αὐτὴν γυναῖκα.»

**34** Καὶ ἀποκριθεὶς[x] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· «Οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσιν
καὶ ἐκγαμίσκονται·[y] **35** οἱ δὲ καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν, καὶ τῆς
ἀναστάσεως τῆς ἐκ νεκρῶν, οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται.[z] **36** Οὔτε[a] γὰρ
ἀποθανεῖν ἔτι δύνανται, ἰσάγγελοι γάρ εἰσιν—καὶ υἱοί εἰσιν τοῦ[b] Θεοῦ, τῆς
ἀναστάσεως υἱοὶ ὄντες. **37** Ὅτι δὲ ἐγείρονται οἱ νεκροί, καὶ Μωϋσῆς[c] ἐμήνυσεν ἐπὶ
τῆς βάτου, ὡς λέγει· ‹Κύριον τὸν Θεὸν Ἀβραὰμ καὶ τὸν[d] Θεὸν Ἰσαὰκ καὶ τὸν[e] Θεὸν
Ἰακώβ.› **38** Θεὸς δὲ οὐκ ἔστιν νεκρῶν, ἀλλὰ ζώντων—πάντες γὰρ αὐτῷ ζῶσιν.»
**39** Ἀποκριθέντες δέ τινες τῶν γραμματέων εἶπον,[f] «Διδάσκαλε, καλῶς εἶπας.»
**40** Οὐκέτι δὲ[g] ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν.

---

[i] αντιλεγοντες **f**$^{35}$ A,W (94.3%) CP,HF,RP,TR[NU] ¦ λεγοντες ℵB,C,D,N (5.4%) OC ¦ three other variants (0.3%)

[j] αναστασιν μη ειναι *rell* ¦ ~ 231 N [2.5%] OC

[k] μωσης **f**$^{35}$ ℵA [60%] HF,RP,TR ¦ μωυσης B,D,N,W [40%] CP,OC,NU

[l] αποθανη **f**$^{35}$ A,N,W [96%] CP,HF,RP,TR,OC ¦ η B [4%] NU ¦ D is wild ¦ three other variants ¦ ℵ omits whole line

[m] ο αδελφος αυτου λαβη **f**$^{35}$ [20%] ¦ ~ 4123 A,B,D,N,W [80%] CP,HF,RP,TR,OC,NU

[n] εξαναστηση **f**$^{35}$ ℵB,D,N [67%] CP,HF,RP,TR,OC,NU ¦ εξαναστησει A,W [33%]

[o] ελαβεν **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [0.5%] NU

[p] την γυναικα και ουτος απεθανεν ατεκνος **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU

[q] αυτην **f**$^{35}$ ℵB(D)W [55%] CP,HF,TR,OC,NU ¦ 1 ωσαυτως A [45%] RP

[r] επτα **f**$^{35}$ ℵA,B,D [73%] CP,HF,RP,TR,OC,NU ¦ 1 και W [27%] some TRs

[s] κατελιπον *rell* ¦ κατελειπον A [18%] ¦ αφηκαν D ¦ two other variants

[t] δε παντων **f**$^{35}$ A,W [60%] CP,HF,RP,TR,OC ¦ 2 [35%] ¦ 1 [2%] ¦ --- ℵB,D [0.3%] NU

[u] απεθανεν και η γυνη **f**$^{35}$ A,W [98%] CP,HF,RP,TR ¦ ~ 2341 ℵB,D [2%] OC,NU

[v] εν τη ουν **f**$^{35}$ A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ 12 ℵ ¦ ~ η γυνη 312 B [0.5%] NU

[w] ουν αναστασει *rell* ¦ ~ 21 [0.5%] OC

[x] αποκριθεις **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU

[y] εκγαμισκονται **f**$^{35}$ Q [74%] CP,HF,RP,TR ¦ εκγαμιζονται A,W [23%] OC ¦ γαμισκονται ℵB [2%] NU ¦ γαμιζονται [1%] ¦ γαμουνται D ¦ two other variants

[z] εκγαμιζονται **f**$^{35}$ A,W [84%] CP,HF,RP ¦ εκγαμισκονται [9%] TR ¦ γαμιζονται ℵD,Q [4%] OC,NU ¦ γαμισκονται B [3%]

[a] ουτε **f**$^{35}$ ℵQ,W [94.5%] CP,HF,RP,TR,OC ¦ ουδε A,B,D [5.5%] NU

[b] του **f**$^{35}$ Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ τω D ¦ --- ℵA,B [0.3%] NU

[c] μωυσης **f**$^{35}$ B,D,Q,W [55%] CP,OC,NU ¦ μωσης ℵA [45%] HF,RP,TR

[d] τον **f**$^{35}$ A,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU

[e] τον **f**$^{35}$ A,Q [99%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [1%] NU ¦ W omits phrase

[f] ειπον *rell* ¦ ειπαν ℵB,D [0.5%] NU

[g] δε **f**$^{35}$ A,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ γαρ ℵB [1%] NU

### *Is the Christ David's Son?*

**41** Εἶπεν δὲ πρὸς αὐτούς· «Πῶς λέγουσιν[h] τὸν Χριστὸν Υἱὸν Δαυὶδ εἶναι;[i] **42** Καὶ αὐτὸς[j] Δαυὶδ λέγει ἐν Βίβλῳ[k] Ψαλμῶν, ‹Εἶπεν ὁ[l] Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου **43** ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.› **44** Δαυὶδ οὖν Κύριον αὐτὸν[m] καλεῖ, καὶ πῶς Υἱὸς αὐτοῦ[n] ἐστιν;»

### *Jesus denounces the scribes*

**45** Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ, εἶπεν τοῖς μαθηταῖς αὐτοῦ·[o] **46** «Προσέχετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις· **47** οἳ κατεσθίουσιν τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ προσεύχονται. Οὗτοι λήψονται[p] περισσότερον κρῖμα.»

### *A lesson in giving*

**21:1** Ἀναβλέψας δὲ εἶδεν τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον[q] πλουσίους. **2** Εἶδεν δέ τινα καὶ[r] χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά.[s] **3** Καὶ εἶπεν· «Ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη[t] πλεῖον πάντων ἔβαλεν· **4** ἅπαντες[u] γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ,[v] αὕτη δέ, ἐκ τοῦ ὑστερήματος αὐτῆς, ἅπαντα[w] τὸν βίον ὃν εἶχεν ἔβαλεν.»[x]

### Jerusalem will be destroyed

**5** Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασιν κεκόσμηται, εἶπεν, **6** «Ταῦτα ἃ θεωρεῖτε—ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθον[y] ὃς οὐ καταλυθήσεται.»

---

[h] λεγουσιν *rell* ¦ 1 τινες A [17%]
[i] υιον δαυιδ ειναι **f**[35] A,Q,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 321 ℵB [0.3%] NU ¦ ~ 312 [1%] ¦ 12 D ¦ υιος 2 εστιν [1%]
[j] και αυτος **f**[35] A,D,W [98%] CP,HF,RP,TR,OC ¦ ~ 2 γαρ ℵB [2%] NU ¦ 12 γαρ Q
[k] βιβλω *rell* ¦ 1 των D,W [8.5%] OC
[l] ο **f**[35] ℵA,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ --- B(D)NU
[m] κυριον αυτον *rell* ¦ ~ 21 A,B,Q [17%] OC
[n] υιος αυτου **f**[35] ℵD,Q,W [92%] CP,HF,RP,TR,OC ¦ ~ 21 A,B [8%] NU
[o] αυτου **f**[35] ℵA,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ αυτους (Q) ¦ εαυτου [1.5%] ¦ --- B,D [0.3%]
[p] λημψονται *rell* ¦ λημψονται ℵA,B,D,W [1%] NU
[q] τα δωρα αυτων εις το γαζοφυλακιον **f**[35] A,Q,W [96.5%] CP,HF,RP,TR,OC ¦ ~ 456123 ℵB,D [3%] NU ¦ four other variants
[r] τινα και **f**[35] (A)Q,W [84%] CP,HF,RP ¦ ~ 21 D [11%] TR ¦ 1 ℵB [5%] OC,NU
[s] δυο λεπτα **f**[35] A(D)W [99%] CP,HF,RP,TR,OC ¦ ~ 21 ℵB,Q [1%] NU
[t] η πτωχη αυτη **f**[35] A,Q,W [95%] HF,RP,TR,OC ¦ ~ 312 ℵB(D) [5%] CP,NU
[u] απαντες **f**[35] A,Q,W [99%] CP,HF,RP,TR,OC ¦ παντες ℵB(D) [1%] NU
[v] του θεου **f**[35] A,D,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- ℵB [1.5%] NU
[w] απαντα **f**[35] A,W [98.5%] CP,HF,RP,TR,OC ¦ παντα ℵB,D,Q [1.5%] NU
[x] εβαλεν *rell* ¦ 1 ταυτα λεγων εφωνει ο εχων ωτα ακουειν ακουετω [20%] (there are a few minor variations)
[y] λιθος επι λιθον **f**[35] W (32.2%) CP ¦ 12 λιθω A,Q (65.1%) HF,RP,TR,OC,NU ¦ 12 λιθων (0.3%) ¦ 12 λιθω ωδε ℵB(D) (0.5%) ¦ 123 ωδε (0.4%) ¦ ωδε 12 λιθω (0.5%) ¦ ωδε 32 λιθω (0.5%) ¦ ωδε 123 (0.2%) ¦ two other variants (0.2%)

## The Olivet Discourse

**21:7** Ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες· «Διδάσκαλε, πότε οὖν ταῦτα ἔσται;» καὶ «Τί
τὸ σημεῖον ὅταν μέλλῃ[z] ταῦτα γίνεσθαι;» **8** Ὁ δὲ εἶπεν· «Βλέπετε μὴ πλανηθῆτε,
πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι[a] ‹Ἐγώ εἰμι› καὶ ‹Ὁ καιρὸς
ἤγγικεν.› Μὴ οὖν[b] πορευθῆτε ὀπίσω αὐτῶν. **9** Ὅταν δὲ ἀκούσητε πολέμους καὶ
ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ᾽ οὐκ εὐθέως τὸ
τέλος.»

### *Things are going to get bad, really bad*

**10** Τότε ἔλεγεν αὐτοῖς· «Ἐγερθήσεται ἔθνος ἐπὶ[c] ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν.
**11** Σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ[d] λιμοὶ καὶ λοιμοὶ ἔσονται, φόβητρά τε καὶ
σημεῖα ἀπ᾽ οὐρανοῦ μεγάλα ἔσται.[e] **12** Πρὸ δὲ τούτων ἁπάντων,[f] ἐπιβαλοῦσιν ἐφ᾽
ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσιν, παραδιδόντες εἰς[g] συναγωγὰς καὶ φυλακάς,
ἀγομένους[h] ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου. **13** Ἀποβήσεται δὲ[i]
ὑμῖν εἰς μαρτύριον. **14** Θέσθε[j] οὖν εἰς τὰς καρδίας[k] ὑμῶν μὴ προμελετᾶν
ἀπολογηθῆναι· **15** ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν ᾗ οὐ δυνήσονται ἀντειπεῖν ἢ
ἀντιστῆναι[l] πάντες[m] οἱ ἀντικείμενοι ὑμῖν. **16** Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ
συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν,[n] καὶ θανατώσουσιν ἐξ ὑμῶν. **17** Καὶ ἔσεσθε
μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου.[o] **18** (Καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ
ἀπόληται— **19** ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.)

### *Jerusalem will be destroyed*

**20** »Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν[p] Ἱερουσαλήμ, τότε γνῶτε
ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. **21** Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ
οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν.

---

[z] μελλη *rell* ¦ μελλει W [12%]
[a] οτι **f**$^{35}$ A,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- אB [1%] NU
[b] ουν **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ --- (א)B,D [1%] NU
[c] επι **f**$^{35}$ B,W [91%] CP,HF,RP,TR,OC ¦ επ אA,D [9%] NU
[d] κατα τοπους και **f**$^{35}$ A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 312 אB [0.5%] NU
[e] και (−κ. 0.6%) σημεια (−σ. 0.4%) απ ουρανου (−α. ο. 0.3%) μεγαλα (−μ. A 0.3%) εσται (−ε. 0.2%) **f**$^{35}$ (A)W (85.9%) CP,HF,RP,TR,OC ¦ ~ 125346 א (5.8%) ¦ ~ 512346 (1.6%) ¦ ~ 123465 (0.4%) ¦ ~ 125634 (0.2%) ¦ ~ 341256 D (0.2%) ¦ ~ 134256 B,NU ¦ 12345 εσωνται (4.3%) ¦ ~ 12534 εσωνται (1%) ¦ five further variants (0.5%)
[f] απαντων **f**$^{35}$ [34%] CP,TR ¦ παντων אA,B,D,W [66%] HF,RP,OC,NU
[g] εις **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,TR,OC ¦ 1 τας אB,D [0.5%] NU
[h] αγομενους **f**$^{35}$ A,W [98.5%] CP,HF,RP,TR,OC ¦ απαγομενους אB,D [1.5%] NU
[i] δε **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- אB,D [0.5%] NU
[j] θεσθε **f**$^{35}$ [97%] CP,HF,RP,TR,OC ¦ θετε אA,B,D,W [3%] NU
[k] εις τας καρδιας **f**$^{35}$ W [97%] CP,HF,RP,TR,OC ¦ εν ταις καρδιαις אA,B,D [3%] NU
[l] αντειπειν η αντιστηναι **f**$^{35}$ A [30%] ¦ ~ 321 אB [1.5%] NU ¦ 1 ουδε 3 W [68%] CP,HF,RP,TR,OC ¦ 3 D ¦ two other variants
[m] παντες **f**$^{35}$ אA,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ απαντες B [0.5%] NU
[n] συγγενων και φιλων και αδελφων **f**$^{35}$ [75%] CP,HF,RP,OC ¦ ~ 54123 אB(D) [23%] TR,NU ¦ 54 συγγενεων 23 A,W ¦ at least eight further variants [2%]
[o] υπο παντων δια το ονομα μου *rell* ¦ ~ 345612 [20%]
[p] την **f**$^{35}$ A [99.5%] CP,HF,RP,TR,OC ¦ --- אB(D)W [0.5%] NU

**22** Ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσιν, τοῦ πληρωθῆναι[q] πάντα τὰ γεγραμμένα.
**23** Οὐαὶ δὲ[r] ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις·
ἔσται γὰρ[s] ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς, καὶ ὀργὴ ἐν[t] τῷ λαῷ τούτῳ. **24** Καὶ πεσοῦνται
στόματι μαχαίρας,[u] καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη.[v] Καὶ Ἱερουσαλὴμ
ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι[w] πληρωθῶσιν καιροὶ ἐθνῶν.

*Christ will return to the earth*

**25** »Καὶ ἔσται[x] σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ
ἐθνῶν, ἐν ἀπορίᾳ, ἠχούσης[y] θαλάσσης καὶ σάλου· **26** ἀποψυχόντων ἀνθρώπων ἀπὸ
φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ[z] οἰκουμένῃ—αἱ γὰρ δυνάμεις τῶν
οὐρανῶν σαλευθήσονται. **27** Καὶ τότε ὄψονται τὸν Υἱὸν τοῦ Ἀνθρώπου ἐρχόμενον ἐν
νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. **28** Ἀρχομένων δὲ τούτων γίνεσθαι,
ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.»

*Parable of the fig tree*

**29** Καὶ εἶπεν παραβολὴν αὐτοῖς· «Ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα. **30** Ὅταν
προβάλλωσιν[a] ἤδη, βλέποντες ἀφ᾽ ἑαυτῶν γινώσκετε ὅτι ἤδη[b] ἐγγὺς τὸ θέρος ἐστίν.
**31** Οὕτως καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία
τοῦ Θεοῦ. **32** Ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένηται.
**33** Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται,[c] οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν.[d]

*Watch and pray*

**34** »Προσέχετε δὲ ἑαυτοῖς, μήποτε βαρηθῶσιν[e] ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ
μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος[f] ἐφ᾽ ὑμᾶς ἐπιστῇ[g] ἡ ἡμέρα ἐκείνη. **35** Ὡς
παγὶς γὰρ ἐπελεύσεται[h] ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

---

[q] πληρωθηναι **f**[35] C [56%] CP,TR,OC ¦ πλησθηναι ℵA,B,D,N,W [44%] HF,RP,NU
[r] δε **f**[35] ℵA,C,N,W [99%] CP,HF,RP,TR,OC ¦ --- B,D [1%] NU
[s] γαρ *rell* ¦ 1 τοτε [2.5%] OC
[t] εν **f**[35] W [87%] CP,HF,RP,TR ¦ --- ℵA,B,C,D,N [13%] OC,NU
[u] μαχαιρας **f**[35] ℵA,C,N [99%] CP,HF,RP,TR,OC ¦ μαχαιρης B [0.5%] NU ¦ μαχαιραις W ¦ ρομφαιας D [0.5%]
[v] παντα τα εθνη **f**[35] A,C,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 231 ℵB [1%] NU
[w] αχρι **f**[35] A,W [93%] CP,HF,RP,TR,OC ¦ 1 ου ℵB,N [1.5%] NU ¦ αχρις ου C,D [4%] ¦ 1 ουν [1%] ¦ two other variants
[x] εσται **f**[35] A,C,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ εσονται ℵB,D,NU
[y] ηχουσης **f**[35] D,W [93%] CP,HF,RP,TR,OC ¦ ηχους ℵA,B,C,N [7%] NU
[z] τη *rell* ¦ εν 1 CP
[a] προβαλλωσιν **f**[35] [28%] ¦ προβαλωσιν ℵA,B,C,W [66%] CP,HF,RP,TR,OC,NU ¦ προσβαλωσιν [5%] ¦ προβαλουσιν N ¦ προβασωσιν D ¦ three other variants
[b] ηδη *rell* ¦ --- N [15%]
[c] παρελευσεται **f**[35] C,W [32%] ¦ παρελευσονται ℵA,B,D,N [68%] CP,HF,RP,TR,OC,NU
[d] παρελθωσιν **f**[35] A,C,N [99%] CP,HF,RP,TR,OC ¦ παρελευσονται ℵB,D,T,W [1%] NU
[e] βαρηθωσιν **f**[35] ℵA,B,C,T,W [75%] CP,HF,RP,OC,NU ¦ βαρυνθωσιν D [20%] TR ¦ βαρυθωσιν N [5%]
[f] αιφνιδιος *rell* ¦ αιφνιδιως [18%] ¦ εφνιδιος ℵ ¦ εφνειδιον N ¦ ενιφνιος D ¦ one other variant
[g] αιφνιδιος εφ υμας επιστη **f**[35] C,W [95%] CP,HF,RP,TR,OC ¦ ~ 4231 (ℵ)B(D)T [1%] NU ¦ ~ 1423 A,N [3%] ¦ four other variants [1%]
[h] γαρ επελευσεται **f**[35] A,C,N,W [97%] CP,HF,RP,TR,OC ¦ 1 ελευσεται [3%] ¦ ~ επεισελευσεται 1 (ℵB,D)NU

**36** Ἀγρυπνεῖτε οὖν[i] ἐν παντὶ καιρῷ, δεόμενοι ἵνα καταξιωθῆτε[j] ἐκφυγεῖν πάντα[k] τὰ
μέλλοντα γίνεσθαι, καὶ σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ Ἀνθρώπου.»

His daily routine

**37** Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο
εἰς τὸ ὄρος τὸ καλούμενον Ἐλαιῶν. **38** Καὶ πᾶς ὁ λαὸς ὤρθριζεν πρὸς αὐτὸν ἐν τῷ
ἱερῷ ἀκούειν αὐτοῦ.

*Judas joins the plot against Jesus*

**22:1** Ἤγγιζεν δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη Πάσχα. **2** Καὶ ἐζήτουν οἱ
ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν, ἐφοβοῦντο γὰρ τὸν λαόν.
**3** Εἰσῆλθεν δὲ ὁ[l] Σατανᾶς εἰς Ἰούδαν (τὸν ἐπικαλούμενον[m] Ἰσκαριώτην), ὄντα ἐκ τοῦ
ἀριθμοῦ τῶν δώδεκα. **4** Καὶ ἀπελθὼν συνελάλησεν τοῖς ἀρχιερεῦσιν καὶ[n] στρατηγοῖς
τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς.[o] **5** Καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια[p] δοῦναι.
**6** Καὶ ἐξωμολόγησεν, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.[q]

## The last night

*Preparation for the last Passover*

**22:7** Ἦλθεν δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν[r] ᾗ ἔδει θύεσθαι τὸ Πάσχα. **8** Καὶ ἀπέστειλεν
Πέτρον καὶ Ἰωάννην εἰπών, «Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ Πάσχα, ἵνα φάγωμεν.»
**9** Οἱ δὲ εἶπον[s] αὐτῷ, «Ποῦ θέλεις ἑτοιμάσομεν;»[t] **10** Ὁ δὲ εἶπεν αὐτοῖς· «Ἰδού,
εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος
βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ[u] εἰσπορεύεται. **11** Καὶ ἐρεῖτε τῷ
οἰκοδεσπότῃ τῆς οἰκίας, ‹Λέγει σοι ὁ Διδάσκαλος· Ποῦ ἐστιν τὸ κατάλυμα ὅπου τὸ
Πάσχα μετὰ τῶν μαθητῶν μου φάγω;› **12** Κἀκεῖνος ὑμῖν δείξει ἀνάγαιον[v] μέγα,
ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε.» **13** Ἀπελθόντες δὲ εὗρον καθὼς εἴρηκεν[w] αὐτοῖς, καὶ
ἡτοίμασαν τὸ Πάσχα.

---

[i] ουν **f**$^{35}$ A,C,N,W [99.8%] CP,HF,RP,TR,OC ¦ δε אB,D,NU

[j] καταξιωθητε **f**$^{35}$ A,C,D,N [98%] CP,HF,RP,TR,OC ¦ κατισχυσητε אT(W) [1.5%] NU ¦ κατισχυσηται B [0.2%]

[k] παντα **f**$^{35}$ א [85%] CP,HF,RP,OC ¦ ταυτα 1 B,D [11%] TR,NU ¦ 1 ταυτα A,C,N,W [4%] ¦ two other variants

[l] ο **f**$^{35}$ [47%] TR,OC ¦ --- אA,B,C,D,N,W [53%] CP,HF,RP,NU

[m] επικαλουμενον **f**$^{35}$ A,C,N [92%] CP,HF,RP,TR,OC ¦ καλουμενον אB,D,W [3.5%] NU ¦ λεγομενον [4%] ¦ two other variants

[n] και **f**$^{35}$ אA,B(D) [75%] HF,RP,NU ¦ 1 τοις C,W [21%] CP,TR ¦ 1 γραμματευσιν 1 N [4%] OC

[o] αυτον παραδω αυτοις **f**$^{35}$ A,N,W [93%] CP,HF,RP,TR,OC ¦ ~ 321 𝔓$^{75v}$אB,C [7%] NU ¦ ~ 21 (D) ¦ one other variant

[p] αργυρια **f**$^{35}$ A,C [49%] OC ¦ αργυριον 𝔓$^{75}$אB,D,N,W [51%] CP,HF,RP,TR,NU

[q] αυτοις ατερ οχλου **f**$^{35}$ N,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓$^{75}$אA,B,C [1%] NU ¦ 23 D ¦ 1 [3%]

[r] εν **f**$^{35}$ אA,N,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,C,D [1%]

[s] ειπον *rell* ¦ ειπαν 𝔓$^{75}$אB,C,D [1.5%] NU ¦ ειπων [1%]

[t] ετοιμασομεν **f**$^{35}$ [60%] CP,HF,RP ¦ ετοιμασωμεν 𝔓$^{75}$אA(B)C(D)N,W [40%] TR,OC,NU

[u] ου **f**$^{35}$ D,W [86%] CP,HF,RP,TR,OC ¦ 1 εαν A,N [12%] ¦ εις ην אB,C [1.5%] NU ¦ three other variants [0.5%]

[v] αναγαιον **f**$^{35}$ A,B(D)N [45%] NU ¦ ανωγαιον [27%] CP,OC ¦ ανωγεον [17%] HF,RP,TR ¦ ανωγεων [5%] ¦ ανογαιον [4%] ¦ αναγεον C,W [1%] ¦ ανωγαιαν א ¦ three other variants [1%]

[w] ειρηκεν **f**$^{35}$ A,N,W [94%] CP,HF,RP,TR,OC ¦ ειρηκει 𝔓$^{75}$אB,C,D [1%] NU ¦ ειπεν [5%]

### *They eat the Passover*

**14** Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσεν, καὶ οἱ δώδεκα[x] ἀπόστολοι σὺν αὐτῷ. **15** Καὶ
εἶπεν πρὸς αὐτούς· «Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ᾽ ὑμῶν πρὸ τοῦ
με παθεῖν. **16** Λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι[y] οὐ μὴ φάγω ἐξ αὐτοῦ[z] ἕως ὅτου πληρωθῇ ἐν
τῇ βασιλείᾳ τοῦ Θεοῦ.» **17** Καὶ δεξάμενος[a] ποτήριον εὐχαριστήσας εἶπεν· «Λάβετε
τοῦτο καὶ διαμερίσατε ἑαυτοῖς.[b] **18** Λέγω γὰρ ὑμῖν ὅτι[c] οὐ μὴ πίω[d] ἀπὸ τοῦ
γενήματος[e] τῆς ἀμπέλου ἕως ὅτου[f] ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ.»

### *Jesus institutes the Lord's Supper*

**19** Καὶ λαβὼν ἄρτον, εὐχαριστήσας, ἔκλασεν καὶ ἔδωκεν αὐτοῖς λέγων, «Τοῦτό
ἐστιν τὸ σῶμά μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν.»
**20** Ὡσαύτως καὶ τὸ ποτήριον,[g] μετὰ τὸ δειπνῆσαι, λέγων· «Τοῦτο τὸ ποτήριον ἡ
καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον.[h]

### The betrayer is present

**21** »Πλὴν ἰδού, ἡ χεὶρ τοῦ παραδιδόντος με μετ᾽ ἐμοῦ ἐπὶ τῆς τραπέζης. **22** Καὶ[i] ὁ
μὲν Υἱὸς[j] τοῦ Ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον,[k] πλὴν οὐαὶ τῷ ἀνθρώπῳ
ἐκείνῳ δι᾽ οὗ παραδίδοται.» **23** (Καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα
εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.)

### *Wanting to be 'the greatest' is not a valid option*

**24** Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. **25** Ὁ δὲ
εἶπεν αὐτοῖς· «Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν[l] αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες
αὐτῶν εὐεργέται καλοῦνται. **26** Ὑμεῖς δὲ οὐχ[m] οὕτως—ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν
γενέσθω[n] ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. **27** Τίς γὰρ μείζων, ὁ
ἀνακείμενος ἢ ὁ διακονῶν; Οὐχ[o] ὁ ἀνακείμενος; Ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν[p] ὡς ὁ
διακονῶν. **28** Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ᾽ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου.

---

[x] δωδεκα **f**$^{35}$ A,C,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D [0.5%] NU
[y] ουκετι **f**$^{35}$ (D)N,W [97%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75v}$ℵA,C,B [3%] NU ¦ one other variant
[z] εξ αυτου **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,TR,OC ¦ απ 2 D [1%] ¦ αυτο ℵB,C [1%] NU ¦ one other variant
[a] δεξαμενος *rell* ¦ 1 το A,D,W [12%] OC ¦ 1 και [3%]
[b] εαυτοις **f**$^{35}$ A,D,N,W [93%] CP,HF,RP,TR,OC ¦ εις εαυτους B,C [6%] NU ¦ εις αυτους [1%] ¦ αλληλοις ℵ ¦ two other variants
[c] οτι **f**$^{35}$ ℵA,N,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ --- B,C,D [2%]
[d] ου μη πιω **f**$^{35}$ A,C,N [92.5%] CP,HF,RP,TR,OC ¦ 123 απο του νυν 𝔓$^{75v}$ℵB [6%] NU ¦ ~ απο του νυν 123 D [1.5%] ¦ 123 νυν W
[e] γενηματος **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,C,D,N,W [85%] CP,HF,RP,OC,NU ¦ γεννηματος [15%] TR
[f] οτου **f**$^{35}$ A,D,N [98%] CP,HF,RP,TR,OC ¦ ου ℵB,C [2%] NU ¦ του W
[g] ωσαυτως και το ποτηριον **f**$^{35}$ A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 𝔓$^{75v}$ℵB [0.5%] NU ¦ D has long omission
[h] εκχυνομενον **f**$^{35}$ N(W) [96.5%] CP,HF,RP,TR,OC ¦ εκχυννομενον ℵA,B,T [3.5%] NU
[i] και **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR,OC ¦ οτι 𝔓$^{75}$ℵB,D,T [1%] NU
[j] μεν υιος **f**$^{35}$ A(D)N,W [99.6%] CP,HF,RP,TR,OC ¦ 2 ℵ ¦ ~ 21 𝔓$^{75v}$B,T [0.3%] NU
[k] πορευεται κατα το ωρισμενον **f**$^{35}$ A,N,W [97%] CP,HF,RP,TR,OC ¦ ~ 2341 𝔓$^{75v}$ℵB,D,T [3%] NU
[l] κυριευουσιν *rell* ¦ κυριευσουσιν [3.5%] ¦ κατακυρευουσιν N [13%]
[m] ουχ *rell* ¦ ουκ CP
[n] γενεσθω **f**$^{35}$ A,N,W [96.5%] CP,HF,RP,TR ¦ γινεσθω (ℵB,D)T [3.5%] OC,NU
[o] ουχ **f**$^{35}$ (D) [33%] ¦ ουχι 𝔓$^{75}$ℵA,T [67%] CP,HF,RP,TR,OC,NU ¦ ουχει B,N,W
[p] ειμι εν μεσω υμων **f**$^{35}$ (A)N,Q$^{v}$,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 ℵB,T [0.5%] NU ¦ D is wild

**29** Κἀγὼ διατίθεμαι ὑμῖν, καθὼς διέθετό μοι ὁ Πατήρ μου, βασιλείαν, **30** ἵνα ἐσθίητε[q]
καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου·[r] καὶ καθίσεσθε[s] ἐπὶ θρόνων
κρίνοντες τὰς δώδεκα φυλὰς[t] τοῦ Ἰσραήλ.»

*Peter will deny Him*

**31** Εἶπεν δὲ ὁ Κύριος·[u] «Σίμων, Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ
σινιάσαι[v] ὡς τὸν σῖτον. **32** Ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλίπῃ[w] ἡ πίστις σου· καὶ
σύ, ποτὲ ἐπιστρέψας, στήριξον[x] τοὺς ἀδελφούς σου.» **33** Ὁ δὲ εἶπεν αὐτῷ, «Κύριε,
μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι.» **34** Ὁ δὲ εἶπεν,
«Λέγω σοι, Πέτρε, οὐ μὴ[y] φωνήσῃ[z] σήμερον ἀλέκτωρ πρὶν ἢ[a] τρὶς ἀπαρνήσῃ μὴ
εἰδέναι με.»[b]

*"Buy a sword"*

**35** Καὶ εἶπεν αὐτοῖς, «Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου[c] καὶ πήρας καὶ
ὑποδημάτων, μή τινος ὑστερήσατε;»[d] Οἱ δὲ εἶπον,[e] «Οὐδενός.»[f] **36** Εἶπεν οὖν[g] αὐτοῖς·
«Ἀλλὰ νῦν, ὁ ἔχων βαλάντιον[h] ἀράτω, ὁμοίως καὶ πήραν· καὶ ὁ μὴ ἔχων πωλήσει[i] τὸ
ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει[j] μάχαιραν. **37** Λέγω γὰρ ὑμῖν ὅτι ἔτι[k] τοῦτο τὸ
γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί· τὸ ‹Καὶ μετὰ ἀνόμων ἐλογίσθη›· καὶ γὰρ τὰ[l]
περὶ ἐμοῦ τέλος ἔχει.» **38** Οἱ δὲ εἶπον,[m] «Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο.» Ὁ δὲ εἶπεν
αὐτοῖς, «Ἱκανόν ἐστιν.»

---

[q] εσθιητε $\mathbf{f}^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ εσθητε $\mathfrak{P}^{75}$B,D,T,NU ¦ εσθιηται ℵQ ¦ εσθειηται W ¦ εσθειεται N

[r] εν τη βασιλεια μου $\mathbf{f}^{35}$ $\mathfrak{P}^{75}$ℵA,B,N,Q,T,W [60%] CP,HF,TR,OC,NU ¦ 123 D ¦ --- [40%] RP [homoioteleuton]

[s] καθισεσθε $\mathbf{f}^{35}$ [64%] CP,HF,RP,OC ¦ καθησεσθε ℵN [23%] NU ¦ καθισησθε [12%] TR ¦ καθησθε B,T [0.5%] ¦ καθησεσθαι A,Q,W ¦ καθεζησθε D ¦ two other variants

[t] κρινοντες τας δωδεκα φυλας $\mathbf{f}^{35}$ ℵA,N,Q,W [99.7%] CP,HF,RP,TR,OC ¦ ~ 2341 $\mathfrak{P}^{75}$(B)T [0.3%] NU ¦ 134 D

[u] ειπεν δε ο κυριος $\mathbf{f}^{35}$ ℵA,D,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- $\mathfrak{P}^{75}$B,T [0.5%] NU

[v] σινιασαι *rell* ¦ συνιασαι OC ¦ σεινιασαι $\mathfrak{P}^{75v}$A,B,D,N,Q,T,W ¦ ζινιασαι ℵ

[w] εκλιπη $\mathbf{f}^{35}$ ℵB,D,N,T [52%] HF,RP,OC,NU ¦ εκλειπη A,Q,W [48%] CP,TR

[x] στηριξον $\mathbf{f}^{35}$ D,N,W [95.5%] CP,HF,RP,TR,OC ¦ στηρισον ℵA,B,Q,T [4.5%] NU ¦ three other variants

[y] μη $\mathbf{f}^{35}$ A,D,N,W [95.5%] CP,HF,RP,TR ¦ --- $\mathfrak{P}^{75v}$ℵB,T [4.5%] OC,NU

[z] φωνηση $\mathbf{f}^{35}$ N,W [64%] CP,HF,RP ¦ φωνησει ℵA,B,D,T [36%] TR,OC,NU

[a] πριν η $\mathbf{f}^{35}$ A,N,W [90.5%] CP,HF,RP,TR,OC ¦ 1 Q [2%] ¦ εως ℵB,T [1.5%] NU ¦ εως ου [6%] ¦ εως οτου D

[b] απαρνηση μη ειδεναι με $\mathbf{f}^{35}$ A(D)N,W [92%] CP,HF,RP,TR,OC ¦ ~ 4123 [1%] ¦ 123 [1%] ¦ 134 [1.5%] ¦ ~ 413 ℵB,T [0.5%] NU ¦ ~ 143 Q [1%] ¦ απαρνησει 234 [3%]

[c] βαλαντιου $\mathbf{f}^{35}$ [63%] HF,RP,TR ¦ βαλλαντιου $\mathfrak{P}^{75v}$ℵA,B,D,N,Q,T,W [37%] CP,OC,NU

[d] υστερησατε *rell* ¦ υστερηθητε [2%] OC ¦ υστερησαται ℵN ¦ three other variants

[e] ειπον *rell* ¦ ειπαν B,D,T [0.5%] NU ¦ ειπεν A

[f] ουδενος $\mathbf{f}^{35}$ ℵD [52%] CP,TR ¦ ουθενος $\mathfrak{P}^{75}$A,B,N,Q,T,W [48%] HF,RP,OC,NU

[g] ειπεν ουν $\mathbf{f}^{35}$ A,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ 1 δε $\mathfrak{P}^{75}$B,T [1.5%] NU ¦ ο δε 1 ℵD [0.2%] ¦ --- [0.5%]

[h] βαλαντιον $\mathbf{f}^{35}$ [60%] HF,RP,TR ¦ βαλλαντιον ℵA,B,D,N,Q,T,W [40%] CP,OC,NU

[i] πωλησει $\mathbf{f}^{35}$ N [64%] CP,HF,RP,OC ¦ πωλησατω $\mathfrak{P}^{75v}$ℵA,B,Q,T,W [28%] TR,NU ¦ πολησει [4%] ¦ πωληση [4.5%] ¦ πωλησαι D

[j] αγορασει $\mathbf{f}^{35}$ D [77%] CP,HF,RP,OC ¦ αγορασατω $\mathfrak{P}^{75v}$ℵA,B,Q,T,W [21%] TR,NU ¦ αγοραση N [2%]

[k] ετι $\mathbf{f}^{35}$ N [94%] CP,HF,RP,TR,OC ¦ --- ℵA,B,D,Q,T,W [6%] NU

[l] τα $\mathbf{f}^{35}$ A,N [99%] CP,HF,RP,TR,OC ¦ το ℵB,D,Q(T)W [1%] NU

[m] ειπον *rell* ¦ ειπαν $\mathfrak{P}^{75}$ℵB,D,Q,T [1%] NU ¦ ειπων [1%]

*Gethsemane*

**39** Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ
αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.[n] **40** Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς,
«Προσεύχεσθε, μὴ εἰσελθεῖν εἰς πειρασμόν.» **41** Καὶ αὐτὸς ἀπεσπάσθη ἀπ᾽ αὐτῶν
ὡσεὶ λίθου βολήν, καὶ θεὶς τὰ γόνατα προσηύχετο **42** λέγων, «Πάτερ, εἰ βούλει
παρενεγκεῖν[o] τὸ ποτήριον τοῦτο[p] ἀπ᾽ ἐμοῦ—πλήν, μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σόν,
γενέσθω.»[q] **43** Ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ᾽ οὐρανοῦ ἐνισχύων αὐτόν. **44** Καὶ
γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο· ἐγένετο δὲ[r] ὁ ἱδρὼς[s] αὐτοῦ ὡσεὶ
θρόμβοι αἵματος, καταβαίνοντες ἐπὶ τὴν γῆν.[t] **45** Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς,
ἐλθὼν πρὸς τοὺς μαθητὰς[u] εὗρεν αὐτοὺς κοιμωμένους[v] ἀπὸ τῆς λύπης. **46** Καὶ εἶπεν
αὐτοῖς· «Τί καθεύδετε; Ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.»

*Betrayal and arrest*

**47** Ἔτι δὲ[w] αὐτοῦ λαλοῦντος, ἰδοὺ ὄχλος· καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν
δώδεκα, προήρχετο[x] αὐτούς,[y] καὶ ἤγγισεν τῷ Ἰησοῦ φιλῆσαι αὐτόν (τοῦτο γὰρ
σημεῖον δεδώκει αὐτοῖς, «Ὃν ἂν φιλήσω, αὐτός ἐστιν»).[z] **48** Ὁ δὲ Ἰησοῦς[a] εἶπεν
αὐτῷ, «Ἰούδα, φιλήματι τὸν Υἱὸν τοῦ Ἀνθρώπου παραδίδως;»

**49** Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπον[b] αὐτῷ,[c] «Κύριε, εἰ πατάξομεν[d] ἐν
μαχαίρᾳ;»[e] **50** Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως[f] καὶ ἀφεῖλεν
αὐτοῦ τὸ οὖς[g] τὸ δεξιόν. **51** Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν, «Ἐᾶτε ἕως τούτου»· καὶ
ἁψάμενος τοῦ ὠτίου αὐτοῦ[h] ἰάσατο αὐτόν.

---

[n] αυτου **f**$^{35}$ N [97%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אA,B,D,Q,T,W [3%] NU

[o] παρενεγκειν **f**$^{35}$ A,N,W [80%] CP,HF,RP,TR,OC ¦ παρενεγκε 𝔓$^{75}$B(D)Q,T [13%] NU ¦ παρενεγκαι א [7%]

[p] το ποτηριον τουτο **f**$^{35}$ A,N,W [99%] CP,HF,RP,TR ¦ ~ 312 𝔓$^{75}$B(D)Q,T [1%] OC,NU ¦ ~ 3123 א

[q] γενεσθω **f**$^{35}$ 𝔓$^{69}$(D)N [77%] CP,HF,RP,TR ¦ γινεσθω (𝔓$^{75}$אA,B)Q,T,W [23%] OC,NU

[r] εγενετο δε **f**$^{35}$ D,Q [95%] CP,HF,RP,TR,OC ¦ ~ και 1 א [3.5%] NU ¦ omit verses 43-44 𝔓$^{69,75}$A,B,N,T,W (1.3%) (NU puts them in [[ ]])

[s] ιδρως *rell* ¦ υδρως CP

[t] have verses 43-44 **f**$^{35}$ (א)D,Q (98.7%) CP,HF,RP,TR,OC[[NU]] ¦ omit verses 43-44 𝔓$^{69,75}$A,B,N,T,W (0.9%) ¦ place them after Mt. 26:39 (C) (0.4%)

[u] μαθητας *rell* ¦ 1 αυτου [3%] TR

[v] αυτους κοιμωμενους **f**$^{35}$ A,N,Q,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$אB,D,T,0171 [1.5%] NU

[w] δε **f**$^{35}$ D,0171 [83%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אA,B,N,T,W [17%] NU

[x] προηρχετο *rell* ¦ προηγεν D [8%] OC ¦ προσηρχετο 𝔓$^{75}$ [2%]

[y] αυτους **f**$^{35}$ 𝔓$^{69,75}$אA,B,D,N,T [85%] CP,HF,RP,OC,NU ¦ αυτων [15%] TR ¦ αυτου W

[z] τουτο γαρ σημειον δεδωκει αυτοις ον αν φιλησω αυτος εστιν **f**$^{35}$ D [45%] (with minor variations) CP,OC ¦ --- 𝔓$^{75}$אA,B,N,T,W [55%] HF,RP,TR,NU

[a] ο δε ιησους **f**$^{35}$ A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ~ 32 𝔓$^{75}$אB,T [1%] NU

[b] ειπον *rell* ¦ ειπαν 𝔓$^{75}$אB,D,T [1%] NU

[c] αυτω **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,T [1%] NU ¦ τω κυριω D

[d] παταξομεν *rell* ¦ παταξωμεν [22%]

[e] μαχαιρα **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ μαχαιρη 𝔓$^{75}$אB,D,T [1%] NU

[f] τον δουλον του αρχιερεως **f**$^{35}$ 𝔓$^{75}$A,D,W,0171$^{v}$ [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 3412 אB,T [1.5%] NU

[g] αυτου το ους **f**$^{35}$ A,W [96%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓$^{75}$אB,T,0171 [2%] NU ¦ 12 ωτιον D [2%]

[h] αυτου **f**$^{35}$ A [97.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,T,W [2.5%] NU ¦ D is wild

**52** Εἶπεν δὲ ὁ Ἰησοῦς[i] πρὸς τοὺς παραγενομένους πρὸς[j] αὐτὸν ἀρχιερεῖς καὶ
στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· «Ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε[k] μετὰ
μαχαιρῶν καὶ ξύλων; **53** Καθ᾽ ἡμέραν ὄντος μου μεθ᾽ ὑμῶν ἐν τῷ ἱερῷ, οὐκ
ἐξετείνατε τὰς χεῖρας ἐπ᾽ ἐμέ. Ἀλλὰ[l] αὕτη ὑμῶν ἐστιν[m] ἡ ὥρα· καὶ ἡ ἐξουσία τοῦ
σκότους.»

*Peter denies Jesus*

**54** Συλλαβόντες δὲ αὐτόν, ἤγαγον καὶ εἰσήγαγον[n] εἰς τὸν οἶκον[o] τοῦ ἀρχιερέως· ὁ
δὲ Πέτρος ἠκολούθει μακρόθεν. **55** Ἀψάντων[p] δὲ πῦρ[q] ἐν μέσῳ τῆς αὐλῆς καὶ
συγκαθισάντων αὐτῶν,[r] ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ[s] αὐτῶν. **56** Ἰδοῦσα δὲ αὐτὸν
παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπεν, «Καὶ οὗτος σὺν αὐτῷ
ἦν.» **57** Ὁ δὲ ἠρνήσατο αὐτὸν[t] λέγων, «Γύναι, οὐκ οἶδα αὐτόν.»[u]

**58** Καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη, «Καὶ σὺ ἐξ αὐτῶν εἶ.» Ὁ δὲ Πέτρος
εἶπεν,[v] «Ἄνθρωπε, οὐκ εἰμί.» **59** Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, ἄλλος τις
διϊσχυρίζετο λέγων, «Ἐπ᾽ ἀληθείας καὶ οὗτος μετ᾽ αὐτοῦ ἦν, καὶ γὰρ Γαλιλαῖός
ἐστιν.» **60** Εἶπεν δὲ ὁ Πέτρος, «Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις.» Καὶ παραχρῆμα, ἔτι
λαλοῦντος αὐτοῦ,[w] ἐφώνησεν[x] ἀλέκτωρ.

**61** Καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψεν τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ
λόγου[y] τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ ὅτι «Πρὶν ἀλέκτορα φωνῆσαι,[z] ἀπαρνήσῃ με τρίς.»
**62** Καὶ ἐξελθὼν ἔξω[a] ἔκλαυσεν πικρῶς.

*Guards mistreat Jesus*

**63** Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν[b] ἐνέπαιζον αὐτῷ, δαίροντες.[c] **64** Καὶ
περικαλύψαντες αὐτόν, ἔτυπτον αὐτοῦ τὸ πρόσωπον καὶ ἐπηρώτων αὐτὸν[d] λέγοντες·

---

[i] ο ιησους **f**$^{35}$ W [98.5%] CP,HF,RP,TR,OC ¦ 2 𝔓$^{75}$אA,B,T [0.5%] NU ¦ --- D [1%]
[j] προς **f**$^{35}$ א [33%] CP ¦ επ 𝔓$^{75}$A,B,D,T,W,0171 [67%] HF,RP,TR,OC,NU
[k] εξεληλυθατε **f**$^{35}$ A,W [80%] CP,HF,RP,TR,OC ¦ εξηλθατε 𝔓$^{75}$אB,D,T [4%] NU ¦ εξηλθετε 0171 [16%]
[l] αλλα **f**$^{35}$ D,T [46%] ¦ αλλ 𝔓$^{75}$אA,B [54%] CP,HF,RP,TR,OC,NU ¦ αλλ η W
[m] υμων εστιν **f**$^{35}$ A [80%] CP,HF,RP,TR ¦ ~ 21 𝔓$^{75}$B,D,T,W [20%] OC,NU ¦ 2 א
[n] εισηγαγον **f**$^{35}$ 𝔓$^{75}$אA,B,T [37%] CP,NU ¦ 1 αυτον [55%] HF,RP,TR,OC ¦ συνηγαγον αυτον W ¦ --- (D) [8%]
[o] τον οικον **f**$^{35}$ A,D,W [93%] CP,HF,RP,TR,OC ¦ την οικιαν 𝔓$^{75}$אB,T [7%] NU
[p] αψαντων **f**$^{35}$ A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ περιαψαντων 𝔓$^{75}$אB,T [0.5%] NU
[q] πυρ *rell* ¦ πυραν [2.5%] OC
[r] αυτων **f**$^{35}$ A,W [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB(D)T [5%] NU
[s] εν μεσω **f**$^{35}$ א(A)W [99%] CP,HF,RP,TR,OC ¦ μεσος 𝔓$^{75}$B,T,0171$^{v}$ [1%] NU ¦ μετ D
[t] αυτον **f**$^{35}$ A,D,N,W [68%] CP,HF,RP,TR ¦ --- 𝔓$^{75}$אB,T [32%] OC,NU
[u] γυναι ουκ οιδα αυτον **f**$^{35}$ A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 𝔓$^{75}$אB,T [1%] NU ¦ 234 D [0.5%]
[v] ειπεν **f**$^{35}$ 𝔓$^{69}$A,D,N,W [90%] CP,HF,RP,TR,OC ¦ εφη 𝔓$^{75}$אB,T [10%] NU
[w] αυτου *rell* ¦ του πετρου [15%]
[x] εφωνησεν *rell* ¦ 1 ο [3%] TR
[y] λογου **f**$^{35}$ A,D,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ ρηματος 𝔓$^{69,75}$אB,T [3.5%] NU
[z] φωνησαι **f**$^{35}$ A,D,N,W [87%] CP,HF,RP,TR,OC ¦ 1 σημερον 𝔓$^{75}$אB,T [12%] NU ¦ σημερον 1 [1%]
[a] εξω **f**$^{35}$ 𝔓$^{75}$אB,D,T [47%] NU ¦ 1 ο πετρος A,N,W [53%] CP,HF,RP,TR,OC
[b] τον ιησουν **f**$^{35}$ A,N,W [96.5%] CP,HF,RP,TR,OC ¦ αυτον 𝔓$^{75}$אB,D,T,0171$^{v}$ [3.5%] NU
[c] δαιροντες **f**$^{35}$ [35%] ¦ δεροντες 𝔓$^{75}$אA,B,N,T,W [65%] CP,HF,RP,TR,OC,NU ¦ --- D,0171
[d] αυτον ετυπτον αυτου το προσωπον και επηρωτων αυτον **f**$^{35}$ A,N,W [94%] CP,HF,RP,TR,OC ¦ ~ 2134578 [4%] ¦ ~ 345216 D ¦ ~ 87 𝔓$^{75}$B,T [2%] NU ¦ 78 א

«Προφήτευσον. Τίς ἐστιν ὁ παίσας σε;» **65** Καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

## Crucifixion day

### *Jesus judged by the Council*

**22:66** Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε[e] καὶ γραμματεῖς, καὶ ἀπήγαγον[f] αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν,[g] λέγοντες, **67** «Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ[h] ἡμῖν.» Εἶπεν δὲ αὐτοῖς· «Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε. **68** Ἐὰν δὲ καὶ[i] ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι ἢ ἀπολύσητε.[j] **69** Ἀπὸ τοῦ νῦν[k] ἔσται ὁ Υἱὸς τοῦ Ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ.» **70** Εἶπον[l] δὲ πάντες, «Σὺ οὖν εἶ ὁ Υἱὸς τοῦ Θεοῦ;» Ὁ δὲ πρὸς αὐτοὺς ἔφη, «Ὑμεῖς λέγετε ὅτι ΕΓΩ ΕΙΜΙ.»
**71** Οἱ δὲ εἶπον·[m] «Τί ἔτι χρείαν ἔχομεν μαρτυρίας;[n] Αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.»

### *Jesus taken to Pontius Pilate*

**23:1** Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγον[o] αὐτὸν ἐπὶ τὸν Πιλᾶτον.
**2** Ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες, «Τοῦτον εὕρομεν[p] διαστρέφοντα τὸ ἔθνος,[q] καὶ κωλύοντα Καίσαρι φόρους[r] διδόναι,[s] λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι.» **3** Ὁ δὲ Πιλᾶτος ἐπηρώτησεν[t] αὐτὸν λέγων, «Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;» Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη, «Σὺ λέγεις.» **4** Ὁ δὲ Πιλᾶτος εἶπεν πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους,[u] «Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ.» **5** Οἱ δὲ ἐπίσχυον, λέγοντες ὅτι «Ἀνασείει τὸν λαόν, διδάσκων καθʼ ὅλης τῆς Ἰουδαίας,[v] ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.»

### *Jesus taken to Herod*

**6** Πιλᾶτος δὲ ἀκούσας ‹Γαλιλαίαν,›[w] ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστιν.
**7** Καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστίν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην,

---

[e] τε **f**[35] 𝔓[75]אA,B,N,T,W [50%] CP,TR,NU ¦ --- (D) [50%] HF,RP,OC
[f] απηγαγον **f**[35] 𝔓[75]אB,D,T [24%] CP,NU ¦ ανηγαγον A,W [75%] HF,RP,TR,OC ¦ ηγαγον N [1%]
[g] αυτων **f**[35] 𝔓[75]אB,D,T [74%] CP,HF,RP,NU ¦ εαυτων A,N,W [23%] TR,OC ¦ αυτον [2%] ¦ three other variants [1%]
[h] ειπε **f**[35] A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ειπον 𝔓[75]אB,T [0.5%] NU ¦ --- D
[i] και **f**[35] A,N,W [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB(D)T [1.5%] NU
[j] μοι η απολυσητε **f**[35] A,D,N,W (94.3%) CP,HF,RP,TR,OC ¦ 12 (three variations of the verb) (0.5%) ¦ ~ 23 με (0.3%) ¦ 23 (2.4%) ¦ 1 (1.6%) ¦ --- 𝔓[75]אB,T (0.4%) NU ¦ four other variants (0.4%)
[k] νυν **f**[35] N,W [98.5%] CP,HF,RP,TR,OC ¦ 1 δε 𝔓[75]אA,B,D,T [1.5%] NU
[l] ειπον *rell* ¦ ειπαν 𝔓[75]אB,T [1%] NU ¦ one other reading
[m] ειπον *rell* ¦ ειπαν 𝔓[75]אB,D,T [1%] NU
[n] χρειαν εχομεν μαρτυριας **f**[35] אA,D,N,W [85%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓[75]B,T [0.5%] NU ¦ 1 εχωμεν 3 [12%] ¦ 12 μαρτυρων D [2.5%]
[o] ηγαγον *rell* ¦ ηγαγεν [1%] CP,TR
[p] ευρομεν *rell* ¦ ευραμεν B,T [1%] NU ¦ ευρον D ¦ ευρωμεν [1%] ¦ two other variants
[q] εθνος **f**[35] A,W [70%] CP,HF,RP,TR,OC ¦ 1 ημων 𝔓[75]אB,D,N,T [30%] NU
[r] καισαρι φορους **f**[35] (N)W [91%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓[75]אB(D)T [1%] NU ¦ 1 φορον A [8%]
[s] διδοναι **f**[35] A(D)N,W [96%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓[75]אB,T [4%] NU
[t] επηρωτησεν **f**[35] A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ ηρωτησεν 𝔓[75]אB,T [0.5%] NU
[u] οχλους *rell* ¦ 1 οτι [1%] OC
[v] ιουδαιας **f**[35] 𝔓[75]A(D)N,W [99.5%] CP,HF,RP,TR,OC ¦ 1 και אB,T [0.5%] NU
[w] γαλιλαιαν **f**[35] A,D,W [99%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB,T [0.5%] NU ¦ γαλιλαιας N ¦ four other spellings

ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις. **8** Ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν, ἦν γὰρ θέλων ἐξ ἱκανοῦ[x] ἰδεῖν αὐτόν, διὰ τὸ ἀκούειν[y] πολλὰ[z] περὶ αὐτοῦ· καὶ ἤλπιζέν τι[a] σημεῖον ἰδεῖν ὑπ᾽ αὐτοῦ γινόμενον. **9** Ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. **10** Εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς,[b] εὐτόνως κατηγοροῦντες αὐτοῦ. **11** Ἐξουθενήσας δὲ αὐτὸν[c] ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν[d] ἐσθῆτα λαμπράν, ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. **12** (Ἐγένοντο δὲ φίλοι ὅ τε Πιλᾶτος καὶ ὁ Ἡρῴδης[e] ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων—προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.)[f]

*Pilate sentences Jesus*

**13** Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαόν, **14** εἶπεν πρὸς αὐτούς· «Προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα[g] τὸν λαόν, καὶ ἰδού, ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐδὲν[h] εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ᾽ αὐτοῦ. **15** Ἀλλ᾽ οὐδὲ Ἡρῴδης (ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν)·[i] καὶ ἰδού, οὐδὲν ἄξιον θανάτου ἐστὶν πεπραγμένον αὐτῷ. **16** Παιδεύσας οὖν αὐτὸν ἀπολύσω.» **17** (Ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα.)[j]

**18** Ἀνέκραξαν[k] δὲ παμπληθεὶ[l] λέγοντες· «Αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν[m] Βαραββᾶν»— **19** ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει, καὶ φόνον, βεβλημένος εἰς φυλακήν.[n] **20** Πάλιν οὖν[o] ὁ Πιλᾶτος προσεφώνησεν,[p] θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. **21** Οἱ δὲ ἐπεφώνουν λέγοντες· «Σταύρωσον, σταύρωσον[q] αὐτόν.» **22** Ὁ δὲ τρίτον εἶπεν πρὸς αὐτούς· «Τί γὰρ κακὸν ἐποίησεν οὗτος; Οὐδὲν αἴτιον[r] θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω.» **23** Οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις,

---

[x] θελων εξ ικανου **f**35 A [72%] CP,HF,RP,TR ¦ ~ 231 [4%] OC ¦ 123 χρονου N,W [20%] ¦ 12 ικανων χρονων D ¦ ~ 23 χρονου 1 [3.5%] ¦ ~ 2 ικανων χρονων 1 𝔓75ℵB,T [0.5%] NU ¦ several other variants

[y] ακουειν *rell* ¦ 1 αυτου [3%] OC

[z] πολλα **f**35 A,N,W [95%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75ℵB,D,T [5%] NU

[a] τι *rell* ¦ ετι CP

[b] αρχιερεις και οι γραμματεις *rell* ¦ ~ 4231 OC

[c] αυτον **f**35 A,B,D(W) [97.5%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓75N,T [2.5%] [NU] ¦ και ℵ

[d] αυτον **f**35 A(D)N,T,W [89%] CP,HF,RP,TR,OC ¦ αυτω [6%] ¦ --- 𝔓75ℵB [5%] NU ¦ one other variant

[e] πιλατος και ο ηρωδης **f**35 A(D)N [74%] CP,HF,RP,TR ¦ ~ 4231 𝔓75ℵB,T [1.5%] OC,NU ¦ 124 W [24.5%]

[f] εαυτους **f**35 A,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ αυτους 𝔓75ℵB,T [0.5%] NU ¦ D has long omission

[g] αποστρεφοντα *rell* ¦ διαστρεφοντα [14%]

[h] ουδεν **f**35 A,D,N,W [99%] CP,HF,RP,TR,OC ¦ ουθεν 𝔓75ℵB,T [1%] NU

[i] ανεπεμψα γαρ υμας προς αυτον **f**35 A,D,N,W [82%] CP,HF,RP,TR,OC ¦ ανεπεμψεν 2345 [2%] ¦ ~ 12543 [2%] ¦ ~ ανεπεμψεν 2543 [2%] ¦ ~ ανεπεμψεν 254 ημας 𝔓75ℵB,T [12%] NU

[j] have verse 17 (with a variety of minor variations) **f**35 (ℵ)(D)(N)W (97.9%) CP,HF,RP,TR,OC ¦ omit verse 17 𝔓75A,B,T (1.9%) NU ¦ longer omissions (0.2%)

[k] ανεκραξαν **f**35 A,D,N(W) [98.5%] CP,HF,RP,TR,OC ¦ ανεκραγον 𝔓75ℵB,T [1.5%] NU

[l] παμπληθει *rell* ¦ παμπληθη CP

[m] ημιν **f**35 A,D,W [88%] HF,RP,OC ¦ 1 τον 𝔓75ℵB,N,T [12%] CP,TR,NU

[n] βεβλημενος εις φυλακην **f**35 A,D,N [93.5%] CP,HF,RP,TR ¦ 12 την 3 W [6%] OC ¦ βληθεις εν τη φυλακη 𝔓75B,T [0.5%] NU ¦ εν τη φυλακη ℵ

[o] ουν **f**35 N,W [98.5%] CP,HF,RP,TR,OC ¦ δε 𝔓75ℵA,B,D,T [1.5%] NU ¦ one other variant

[p] προσεφωνησεν **f**35 A,N,W [98%] CP,HF,RP,TR,OC ¦ 1 αυτοις 𝔓75ℵB,T [2%] NU ¦ 1 αυτους D

[q] σταυρωσον σταυρωσον **f**35 A,N [95%] CP,HF,RP,TR,OC ¦ σταυρου σταυρου 𝔓75ℵB,D [0.3%] NU ¦ 1 W [5%]

[r] αιτιον *rell* ¦ αξιον [2%] OC

αἰτούμενοι αὐτὸν σταυρωθῆναι· καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν, καὶ τῶν ἀρχιερέων.[s]
**24** Ὁ δὲ[t] Πιλᾶτος ἐπέκρινεν γενέσθαι τὸ αἴτημα αὐτῶν. **25** Ἀπέλυσεν δὲ[u] τὸν διὰ
στάσιν καὶ φόνον βεβλημένον εἰς τὴν[v] φυλακήν, ὃν ᾐτοῦντο· τὸν δὲ Ἰησοῦν
παρέδωκεν τῷ θελήματι αὐτῶν.

*Jesus is crucified*

**26** Καὶ ὡς ἀπήγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου (ἐρχομένου[w]
ἀπ' ἀγροῦ), ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὄπισθεν[x] τοῦ Ἰησοῦ. **27** Ἠκολούθει
δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ γυναικῶν αἳ καὶ[y] ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν.
**28** Στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς[z] εἶπεν· «Θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ'
ἐμέ· πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. **29** Ὅτι ἰδού, ἔρχονται ἡμέραι ἐν
αἷς ἐροῦσιν, ‹Μακάριαι αἱ στεῖραι, καὶ[a] κοιλίαι αἳ οὐκ ἐγέννησαν καὶ μαστοὶ οἳ οὐκ
ἐθήλασαν.›[b] **30** Τότε ἄρξονται λέγειν τοῖς ὄρεσιν, ‹Πέσετε ἐφ' ἡμᾶς,› καὶ τοῖς
βουνοῖς, ‹Καλύψατε ἡμᾶς.› **31** Ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί
γένηται;»[c]

**32** Ἤγοντο δὲ καὶ ἕτεροι δύο, κακοῦργοι,[d] σὺν αὐτῷ ἀναιρεθῆναι. **33** Καὶ ὅτε
ἀπῆλθον[e] ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν· καὶ τοὺς
κακούργους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ ἀριστερῶν.

**34** Ὁ δὲ Ἰησοῦς ἔλεγεν, «Πάτερ, ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασιν τί ποιοῦσιν»·[f]
διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλον[g] κλῆρον.[h] **35** Καὶ εἱστήκει ὁ λαὸς θεωρῶν.
Ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς[i] λέγοντες, «Ἄλλους ἔσωσεν· σωσάτω
ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστός, ὁ τοῦ Θεοῦ ἐκλεκτός.»[j] **36** Ἐνέπαιζον[k] δὲ αὐτῷ καὶ
οἱ στρατιῶται, προσερχόμενοι καὶ[l] ὄξος προσφέροντες αὐτῷ, **37** καὶ λέγοντες, «Εἰ σὺ
εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν.»

---

[s] και των αρχιερεων **f**$^{35}$ A(D)N,W (99%) CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{75}$ℵB (0.5%) NU ¦ six other readings (0.4%)
[t] ο δε **f**$^{35}$ A(D)N,W [99.5%] CP,HF,RP,TR,OC ¦ και **𝔓**$^{75}$ℵB [0.5%] NU
[u] δε **f**$^{35}$ **𝔓**$^{75}$ℵA,B,D,N,W [70%] CP,HF,RP,NU ¦ 1 αυτοις [20%] TR ¦ 1 αυτοις τον βαραββαν [10%] OC
[v] την **f**$^{35}$ **𝔓**$^{75}$A,C,N [90%] CP,HF,RP,TR,OC ¦ --- ℵB,D [10%] NU ¦ τη W
[w] σιμωνος τινος κυρηναιου ερχομενου **f**$^{35}$ (A)N,W [96%] CP,HF,RP,OC ¦ 123 του 4 [2%] TR ¦ σιμωνα τινα κυρηναιον ερχομενον **𝔓**$^{75}$ℵB [2%] NU ¦ τινα σιμωνα κυρηναιον ερχομενον C,D
[x] οπισθεν *rell* ¦ οπισω [3%] OC
[y] αι και **f**$^{35}$ W [95%] CP,HF,RP,TR,OC ¦ 1 **𝔓**$^{75}$A,B,C(D)N [5%] NU ¦ --- ℵ
[z] προς αυτας ο ιησους **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,TR,OC[NU] ¦ ~ 3412 C(D) [1%] ¦ 124 **𝔓**$^{75}$ℵB [0.3%] ¦ three other variants
[a] και **f**$^{35}$ **𝔓**$^{75}$A,D,W [90%] CP,HF,RP,TR,OC ¦ 1 αι ℵB,C,N [10%] NU
[b] εθηλασαν **f**$^{35}$ A,N,W [98%] CP,HF,RP,TR,OC ¦ εθρεψαν **𝔓**$^{75}$ℵB,C [1%] NU ¦ εξεθρεψαν D [1%]
[c] γενηται *rell* ¦ γινεται [9%] ¦ γενησεται [10%]
[d] δυο κακουργοι **f**$^{35}$ A,C,D,N,Q,W [99.8%] CP,HF,RP,TR,OC ¦ ~ 21 **𝔓**$^{75}$ℵB,NU
[e] απηλθον **f**$^{35}$ A,N,W [97.5%] CP,HF,RP,TR,OC ¦ ηλθον **𝔓**$^{75}$ℵB,C(D)Q [2.5%] NU ¦ three other variants
[f] ο δε ιησους ελεγεν πατερ αφες αυτοις ου γαρ οιδασιν τι ποιουσιν **f**$^{35}$ ℵ(A)C,N(Q) (99.2%—with a variety of minor variations) CP,HF,RP,TR,OC[[NU]] ¦ --- **𝔓**$^{75}$B,D,W (0.8%)
[g] εβαλον *rell* ¦ εβαλλον N [9%] OC
[h] κληρον **f**$^{35}$ **𝔓**$^{75}$ℵB,C,D,Q,W [97%] CP,HF,RP,TR,OC ¦ κληρους A,N [3%] NU
[i] συν αυτοις **f**$^{35}$ A,N,W [97%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{75}$ℵB,C,Q [3%] NU ¦ D is wild
[j] ο του θεου εκλεκτος **f**$^{35}$ A,N,Q [95%] CP,HF,RP,TR,OC ¦ ~ 1423 C [0.5%] ¦ ~ 2314 B,W [1%] NU ¦ ~ 12314 ℵ ¦ 1 υιος 2314 **𝔓**$^{75}$ [3%] ¦ D is wild
[k] ενεπαιζον **f**$^{35}$ A,N,Q [99%] CP,HF,RP,TR,OC ¦ ενεπαιξαν **𝔓**$^{75}$ℵB [0.5%] NU ¦ ενεπαιξον C,D,W
[l] και **f**$^{35}$ N,Q,W [99%] CP,HF,RP,TR,OC ¦ --- **𝔓**$^{75}$ℵA,B,C [1%] NU ¦ τε D

**38** Ἦν δὲ καὶ[m] ἐπιγραφὴ γεγραμμένη ἐπ᾽ αὐτῷ,[n] γράμμασιν Ἑλληνικοῖς καὶ
Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς·[o]

ΟΥΤΟΣ ΕΣΤΙΝ Ὁ ΒΑΣΙΛΕΥΣ ΤΩΝ ΙΟΥΔΑΙΩΝ[p]

**39** Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων, «Εἰ[q] σὺ εἶ ὁ
Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς.» **40** Ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα[r] αὐτῷ λέγων·[s]
«Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; **41** Καὶ ἡμεῖς μὲν δικαίως, ἄξια
γὰρ ὧν ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν ἄτοπον ἔπραξεν.» **42** Καὶ ἔλεγεν
τῷ[t] Ἰησοῦ, «Μνήσθητί μου, Κύριε,[u] ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ[v] σου.» **43** Καὶ εἶπεν
αὐτῷ ὁ Ἰησοῦς,[w] «Ἀμὴν λέγω σοι,[x] σήμερον μετ᾽ ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ.»

### *Jesus dismisses His spirit*

**44** Ἦν δὲ[y] ὡσεὶ ὥρα ἕκτη, καὶ σκότος ἐγένετο ἐφ᾽ ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης.[z]
**45** Καὶ ἐσκοτίσθη ὁ ἥλιος·[a] καὶ ἐσχίσθη[b] τὸ καταπέτασμα τοῦ ναοῦ μέσον. **46** Καὶ
φωνήσας φωνῇ μεγάλῃ, ὁ Ἰησοῦς εἶπεν, «Πάτερ, εἰς χεῖράς σου παραθήσομαι[c] τὸ
πνεῦμά μου.» Καὶ ταῦτα[d] εἰπὼν ἐξέπνευσεν.

### *Various reactions*

**47** Ἰδὼν δὲ ὁ ἑκατόνταρχος[e] τὸ γενόμενον, ἐδόξασεν[f] τὸν Θεὸν λέγων, «Ὄντως ὁ
ἄνθρωπος οὗτος δίκαιος ἦν.» **48** Καὶ πάντες οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν
θεωρίαν ταύτην, θεωροῦντες τὰ γενόμενα,[g] τύπτοντες ἑαυτῶν[h] τὰ στήθη ὑπέστρεφον.

---

[m] και **f**$^{35}$ 𝔓$^{75}$אA,B,N,Q,W [75%] HF,RP,TR,OC,NU ¦ 1 η C,D [22.5%] CP ¦ η [1.5%] ¦ --- [1%]

[n] γεγραμμενη επ αυτω **f**$^{35}$ N,W [98%] CP,HF,RP,TR,OC ¦ ~ 231 C [1.5%] ¦ 23 𝔓$^{75}$אB [0.5%] NU ¦ επιγεγραμμενη 23 A,D,Q

[o] γραμμασιν ελληνικοις και ρωμαικοις και εβραικοις **f**$^{35}$ A,N,Q,W [98%] CP,HF,RP,TR,OC ¦ 1246 אD [1%] ¦ --- 𝔓$^{75}$B,C [0.5%] NU ¦ several minor variations

[p] ουτος εστιν ο βασιλευς των ιουδαιων **f**$^{35}$ A,W [97%] CP,HF,RP,TR,OC ¦ 12 ιησους 3456 N,Q [2%] ¦ ~ 345612 D ¦ ~ 34561 𝔓$^{75}$אB [0.5%] NU ¦ 3456 C

[q] ει **f**$^{35}$ A,N,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ ουχι 𝔓$^{75}$אB,C [0.5%] NU ¦ D has long omission

[r] επετιμα **f**$^{35}$ A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ επετιμων 𝔓$^{75}$אB,C [1%] NU ¦ one other variant

[s] λεγων **f**$^{35}$ A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ εφη 𝔓$^{75}$אB,C [1%] NU

[t] τω **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,C [0.3%] NU ¦ αυτω (D)

[u] κυριε **f**$^{35}$ A,W [97%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,C [3%] NU ¦ D is wild

[v] εν τη βασιλεια **f**$^{35}$ אA,C,W [99.5%] CP,HF,RP,TR,OC ¦ εις την βασιλειαν 𝔓$^{75}$B [0.3%] NU ¦ D is wild

[w] ο ιησους **f**$^{35}$ A,C(D)W [99.7%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB [0.3%] NU

[x] λεγω σοι **f**$^{35}$ אA,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 21 𝔓$^{75}$B,C [0.5%] NU ¦ D is wild

[y] ην δε **f**$^{35}$ A,D,Q,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ και 1 א ¦ ~ και 1 ηδη 𝔓$^{75}$B,C [0.5%] NU

[z] ενατης **f**$^{35}$ 𝔓$^{75}$אA,B,C,D,Q,W [70%] CP,HF,RP,OC,NU ¦ εννατης [30%] TR

[a] και εσκοτισθη ο ηλιος **f**$^{35}$ A,Q,W (96.8%) CP,HF,RP,TR ¦ ~ 2 δε 34 D ¦ του ηλιου εκλειποντος B (0.4%) OC ¦ του ηλιου εκλιποντος 𝔓$^{75}$אC (0.4%) NU ¦ του ηλιου εσκοτισθεντος (0.7%) ¦ conflations (1.2%) ¦ two other variants (0.2%) ¦ --- (0.4%)

[b] και εσχισθη **f**$^{35}$ A(D)W [99%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε 𝔓$^{75}$אB,C [1%] NU

[c] παραθησομαι **f**$^{35}$ [77%] CP,HF,RP,TR ¦ παρατιθεμαι 𝔓$^{75}$אA,B,C,Q,W [11%] OC,NU ¦ παρατιθημι (D) [12%]

[d] και ταυτα **f**$^{35}$ A [83%] CP,HF,RP,TR,OC ¦ τουτο δε 𝔓$^{75}$אB,C(D)W [1.5%] NU ¦ 1 τουτο Q [15.5%]

[e] εκατονταρχος **f**$^{35}$ A,C,D,Q,W [99%] CP,HF,RP,TR,OC ¦ εκατονταρχης 𝔓$^{75}$אB [1%] NU

[f] εδοξασεν **f**$^{35}$ A,C,Q,W [99%] CP,HF,RP,TR,OC ¦ εδοξαζεν 𝔓$^{75}$אB,D [1%] NU

[g] θεωρουντες τα γενομενα **f**$^{35}$ Q,W [93%] CP,HF,RP,TR,OC ¦ 12 γινομενα [5%] ¦ θεωρησαντες 23 𝔓$^{75}$אB,C,D [1.5%] NU ¦ --- A [0.5%]

[h] εαυτων **f**$^{35}$ Q [90%] CP,HF,RP,TR,OC ¦ αυτων W [8.5%] ¦ --- 𝔓$^{75}$אA,B,C,D [1.5%] NU

**49** Εἱστήκεισαν δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ[i] μακρόθεν,[j] καὶ γυναῖκες αἱ
συνακολουθήσασαι[k] αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

### *Jesus' body is buried*

**50** Καὶ ἰδού, ἀνὴρ ὀνόματι Ἰωσήφ, βουλευτὴς ὑπάρχων,[l] ἀνὴρ ἀγαθὸς καὶ δίκαιος
**51** (οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ καὶ τῇ πράξει αὐτῶν), ἀπὸ
Ἀριμαθαίας,[m] πόλεως τῶν Ἰουδαίων, ὃς προσεδέχετο καὶ αὐτὸς[n] τὴν βασιλείαν τοῦ
Θεοῦ· **52** οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. **53** Καὶ καθελὼν
αὐτὸ[o] ἐνετύλιξεν αὐτὸ[p] σινδόνι, καὶ ἔθηκεν αὐτὸ[q] ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν
οὐδέπω οὐδεὶς[r] κείμενος. **54** Καὶ ἡμέρα ἦν Παρασκευή·[s] σάββατον[t] ἐπέφωσκεν.
**55** Κατακολουθήσασαι δὲ[u] γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς
Γαλιλαίας,[v] ἐθεάσαντο τὸ μνημεῖον καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ. **56** Ὑποστρέψασαι
δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. Καὶ τὸ μὲν σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

## Resurrection Day

### *"He is not here, but is risen!"*

**24:1** Τῇ δὲ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος,[w] ἦλθον ἐπὶ τὸ μνῆμα[x] φέρουσαι ἃ
ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς.[y] **2** Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον
ἀπὸ τοῦ μνημείου· **3** καὶ εἰσελθοῦσαι[z] οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. **4** Καὶ
ἐγένετο, ἐν τῷ διαπορεῖσθαι[a] αὐτὰς περὶ τούτου, καὶ ἰδού, ἄνδρες δύο[b] ἐπέστησαν
αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις.[c] **5** Ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ
κλινουσῶν τὸ πρόσωπον[d] εἰς τὴν γῆν, εἶπον[e] πρὸς αὐτάς· «Τί ζητεῖτε τὸν ζῶντα μετὰ

---

[i] αυτου **f35** ℵC,D,W [97%] CP,HF,RP,TR,OC ¦ αυτω 𝔓75A,B [3%] NU
[j] μακροθεν **f35** A,C,W [95.5%] CP,HF,RP,TR ¦ απο 1 𝔓75ℵB,D [4.5%] OC,NU
[k] συνακολουθησασαι **f35** A,D,W [99%] CP,HF,RP,TR,OC ¦ συνακολουθουσαι 𝔓75ℵB,C [1%] NU ¦ one other variant
[l] υπαρχων **f35** A,B(D)W [98%] CP,HF,RP,TR ¦ 1 και 𝔓75ℵC [2%] OC[NU]
[m] ἀριμαθαιας **f35** CP,HF,RP,TR,OC ¦ ἁριμαθαιας NU
[n] ος προσδεχετο και αυτος **f35** [32%] CP,OC ¦ 1 και 234 A,W [52%] HF,RP,TR ¦ ~ 1 και 42 [13%] ¦ 12 𝔓75ℵB,C,D [1%] NU ¦ 1 και 2 [2%]
[o] αυτο **f35** A,W [95.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75ℵB,C,D [3%] NU ¦ αυτον [1.5%]
[p] αυτο *rell* ¦ --- W [3.5%] OC
[q] αυτο **f35** 𝔓75A,W [94%] CP,HF,RP,TR,OC ¦ αυτον ℵB,C,D [1%] NU ¦ αυτω [2%] ¦ --- [3%]
[r] ουδεπω ουδεις **f35** [74%] CP,HF,RP,TR ¦ ~ 21 ℵC,W [20%] OC ¦ ~ 2 ουπω 𝔓75A,B [1%] NU ¦ ουπω 2 D ¦ ουδεποτε 2 [5%]
[s] παρασκευη **f35** A,W [99%] CP,HF,RP,TR,OC ¦ παρασκευης 𝔓75ℵB,C [1%] NU ¦ προσσαββατου D
[t] σαββατον **f35** A,W [90%] CP,HF,RP,OC ¦ και 1 𝔓75ℵB,C [10%] TR,NU ¦ --- D
[u] δε **f35** ℵA,C,W [90%] CP,HF,RP ¦ 1 και [2%] TR ¦ 1 αι 𝔓75B [7%] OC,NU ¦ 1 δυο D ¦ --- [1%]
[v] αυτω εκ της γαλιλαιας **f35** A,W [94%] CP,HF,RP,TR,OC ¦ ~ 2341 𝔓75ℵ(B) [0.5%] NU ¦ 234 C ¦ απο 34 (D) [5%]
[w] βαθεος **f35** W [50%] RP,TR,OC ¦ βαθεως 𝔓75ℵA,B,C,D [50%] CP,HF,NU
[x] ηλθον επι το μνημα **f35** A,W [97.5%] CP,HF,RP,TR,OC ¦ ~ 2341 (B) [0.3%] NU ¦ 123 μνημειον C [2%] ¦ ~ 23 μνημειον 1 𝔓75(ℵ) ¦ ηρχοντο 234 D
[y] και τινες συν αυταις **f35** A(D)W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓75ℵB,C [0.5%] NU
[z] και εισελθουσαι **f35** A,W [98.5%] CP,HF,RP,TR,OC ¦ ~ 2 δε 𝔓75ℵB,C,D [1.5%] NU
[a] διαπορεισθαι **f35** A,W [99%] CP,HF,RP,TR,OC ¦ απορεισθαι 𝔓75ℵB,C,D [0.5%] NU ¦ διαπορειν [0.5%]
[b] ανδρες δυο **f35** 𝔓75ℵA,B,C,W [98%] CP,HF,RP,OC,NU ¦ ~ 21 D [2%] TR
[c] εσθησεσιν αστραπτουσαις **f35** A,C,W [99.7%] CP,HF,RP,TR,OC ¦ εσθητι αστραπτουση 𝔓75ℵB,D,NU
[d] το προσωπον **f35** A,W [92%] CP,HF,RP,TR,OC ¦ τα προσωπα 𝔓75ℵB,C,D [8%] NU
[e] ειπον *rell* ¦ ειπαν 𝔓75ℵB,C,D [0.5%] NU ¦ ειπεν [6%] ¦ one other reading

τῶν νεκρῶν; **6** Οὐκ ἔστιν ὧδε, ἀλλ’[f] ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ
Γαλιλαίᾳ, **7** λέγων ὅτι ‹Δεῖ τὸν Υἱὸν τοῦ Ἀνθρώπου[g] παραδοθῆναι εἰς χεῖρας
ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι.› » **8** Καὶ
ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ.

### *The women report*

**9** Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα[h] τοῖς ἕνδεκα, καὶ
πᾶσιν τοῖς λοιποῖς. **10** Ἦσαν δὲ[i] ἡ Μαγδαληνὴ[j] Μαρία καὶ Ἰωάννα καὶ Μαρία ἡ[k]
Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ[l] ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. **11** Καὶ
ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν,[m] καὶ ἠπίστουν αὐταῖς. **12** (Ὁ
δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια
κείμενα μόνα·[n] καὶ ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.)

### *The ‘Emmaus’ incident*

**13** Καὶ ἰδού, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ[o] εἰς κώμην
ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. **14** Καὶ αὐτοὶ
ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. **15** Καὶ ἐγένετο ἐν
τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ[p] Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς.
**16** Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. **17** Εἶπεν δὲ πρὸς
αὐτούς, «Τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καί
ἐστε[q] σκυθρωποί;»

**18** Ἀποκριθεὶς δὲ ὁ[r] εἷς ᾧ ὄνομα[s] Κλεόπας,[t] εἶπεν πρὸς αὐτόν, «Σὺ μόνος
παροικεῖς[u] Ἱερουσαλήμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις;»
**19** Καὶ εἶπεν αὐτοῖς, «Ποῖα;» Οἱ δὲ εἶπον[v] αὐτῷ· «Τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου,[w]
ὡς[x] ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς
τοῦ λαοῦ, **20** ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα

---

[f] αλλ **f**$^{35}$ A [99%] CP,HF,RP,TR,OC ¦ αλλα 𝔓$^{75}$ℵB(W) [0.6%] NU ¦ --- C(D)
[g] οτι δει τον υιον του ανθρωπου **f**$^{35}$ A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 345612 𝔓$^{75}$ℵB,C$^{v}$ [0.5%] NU
[h] ταυτα παντα **f**$^{35}$ 𝔓$^{75}$A,B,W [55%] CP,HF,RP,TR,OC,NU ¦ ~ 21 ℵD [45%]
[i] ησαν δε *rell* ¦ --- A,D,W [22%]
[j] μαγδαληνη *rell* ¦ μαγδαλινη [13%] ¦ five further spellings
[k] η **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,D,W [50%] NU ¦ --- [50%] CP,HF,RP,TR,OC
[l] αι **f**$^{35}$ [65%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,B,D,W [35%] NU
[m] αυτων **f**$^{35}$ A,W [99%] CP,HF,RP,TR,OC ¦ ταυτα 𝔓$^{75}$ℵB,D [1%] NU
[n] κειμενα μονα **f**$^{35}$ [95%] CP,HF,RP,TR,OC ¦ 1 A [4.5%] ¦ 2 𝔓$^{75}$B,W [0.3%] NU ¦ --- ℵ(D) ¦ one other variant
[o] ησαν πορευομενοι εν αυτη τη ημερα (ωρα A) **f**$^{35}$ (A)(D)W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 345612 𝔓$^{75}$B,NU ¦ ~ 35461 δε 2 ℵ
[p] ο **f**$^{35}$ D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵA,B [0.5%] NU
[q] εστε **f**$^{35}$ N [97%] CP,HF,RP,TR,OC ¦ εσταθησαν 𝔓$^{75}$ℵA,B [0.5%] NU ¦ εσται W [2%] ¦ --- D ¦ two other variants
[r] ο **f**$^{35}$ A,W [88%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$ℵB,D,N [12%] NU
[s] ω ονομα **f**$^{35}$ A,D,W [99%] CP,HF,RP,TR,OC ¦ ονοματι 𝔓$^{75}$ℵB,N [1%] NU
[t] κλεοπας *rell* ¦ κλεωπας [14%]
[u] παροικεις **f**$^{35}$ 𝔓$^{75}$ℵA,B,D,N,W [80%] CP,HF,RP,NU ¦ 1 εν [18.5%] TR,OC ¦ 1 εις [1.5%]
[v] ειπον *rell* ¦ ειπαν 𝔓$^{75}$ℵB [0.4%] NU ¦ ειπεν [1%] ¦ --- D
[w] ναζωραιου **f**$^{35}$ A,D,N,W (99.1%) CP,HF,RP,TR,OC ¦ ναζαρηνου 𝔓$^{75}$ℵB (0.5%) NU ¦ ναζαραιου (0.4%)
[x] ως **f**$^{35}$ [32%] ¦ ος 𝔓$^{75}$ℵA,B,D,N,W [68%] CP,HF,RP,TR,OC,NU

θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. **21** Ἡμεῖς δὲ ἠλπίζομεν[y] ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. Ἀλλά γε[z] σὺν πᾶσιν, τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον[a] ἀφ᾽ οὗ ταῦτα ἐγένετο. **22** Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς—γενόμεναι ὄρθριαι[b] ἐπὶ τὸ μνημεῖον, **23** καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. **24** Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον καὶ εὗρον οὕτως καθὼς καὶ αἱ γυναῖκες εἶπον· αὐτὸν δὲ οὐκ εἶδον.»

**25** Καὶ αὐτὸς εἶπεν πρὸς αὐτούς· «Ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται· **26** οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστόν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ;» **27** Καὶ ἀρξάμενος ἀπὸ Μωσέως,[c] καὶ ἀπὸ πάντων τῶν προφητῶν, διηρμήνευεν[d] αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ.[e]

**28** Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο[f] πορρωτέρω[g] πορεύεσθαι. **29** Καὶ παρεβιάσαντο αὐτὸν λέγοντες, «Μεῖνον μεθ᾽ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶν καὶ κέκλικεν[h] ἡ ἡμέρα.» Καὶ εἰσῆλθεν τοῦ μεῖναι σὺν αὐτοῖς. **30** Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησεν, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. **31** Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν. **32** Καὶ εἶπον[i] πρὸς ἀλλήλους, «Οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν[j] ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ[k] ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς;»

### The two report

**33** Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, καὶ εὗρον συνηθροισμένους[l] τοὺς ἕνδεκα· καὶ τοὺς σὺν αὐτοῖς, **34** λέγοντας ὅτι «Ἠγέρθη ὁ Κύριος ὄντως,[m] καὶ ὤφθη Σίμωνι.» **35** Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

### *Jesus appears to the disciples*

**36** Ταῦτα δὲ αὐτῶν λαλούντων, καὶ[n] αὐτὸς ὁ Ἰησοῦς[o] ἔστη ἐν μέσῳ αὐτῶν, καὶ λέγει αὐτοῖς, «Εἰρήνη ὑμῖν.» **37** Πτοηθέντες δέ, καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν

---

[y] ηλπιζομεν *rell* ¦ ελπιζομεν [14%] ¦ ελπιζωμεν [1%] ¦ ηλπισαμεν B ¦ ηλπικαμεν 𝔓[75]
[z] γε **f**[35] A,N,W [99%] CP,HF,RP,TR,OC ¦ 1 και 𝔓[75]אB,D [1%] NU
[a] σημερον **f**[35] A(D)W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB [0.5%] NU
[b] ορθριαι **f**[35] [97%] CP,HF,RP,TR,OC ¦ ορθριναι 𝔓[75]אA,B,D,W [3%] NU
[c] μωσεως **f**[35] אA,D [92%] CP,HF,RP,TR ¦ μωυσεως 𝔓[75]B,T,W [8%] OC,NU
[d] διηρμηνευεν **f**[35] [82%] CP,HF,RP,TR,OC ¦ διερμηνευεν A,T [17%] ¦ διερμηνευειν אW ¦ διερμηνευσεν 𝔓[75]B [0.2%] NU ¦ ερμηνευειν D ¦ two other variants
[e] εαυτου *rell* ¦ αυτου D,W [11%]
[f] προσεποιειτο **f**[35] W [98.5%] CP,HF,RP,TR,OC ¦ προσεποιησατο 𝔓[75]אA,B,D [1.5%] NU
[g] πορρωτερω **f**[35] D,W [99.7%] CP,HF,RP,TR,OC [πορρωτερωτερω א] ¦ πορρωτερον 𝔓[75]A,B [0.3%] NU
[h] κεκλικεν **f**[35] A(D)(W) [97.5%] CP,HF,RP,TR,OC ¦ 1 ηδη 𝔓[75]אB,T[v] [2.5%] NU
[i] ειπον *rell* ¦ ειπαν 𝔓[75]אB [0.4%] NU
[j] εν ημιν **f**[35] אA,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓[75]B,D [1%]
[k] και **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB,D [0.5%] NU
[l] συνηθροισμενους **f**[35] A,W [99.6%] CP,HF,RP,TR,OC ¦ ηθροισμενους 𝔓[75]אB,D [0.4%] NU
[m] ηγερθη ο κυριος οντως **f**[35] A [97%] CP,HF,RP,TR,OC ¦ ~ 4123 𝔓[75]אB,D [2%] NU ¦ ~ 1423 [1%] ¦ 123 W
[n] και **f**[35] [32%] CP ¦ --- 𝔓[75]אA,B,D,W [68%] HF,RP,TR,OC,NU [The και is emphatic.]
[o] ο ιησους **f**[35] A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]אB,D [0.5%] NU

πνεῦμα θεωρεῖν. **38** Καὶ εἶπεν αὐτοῖς· «Τί τεταραγμένοι ἐστέ;» καὶ «Διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις[p] ὑμῶν; **39** Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι·[q] ψηλαφήσατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα.» **40** Καὶ τοῦτο εἰπὼν ἐπέδειξεν[r] αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. **41** Ἔτι δὲ ἀπιστούντων αὐτῶν, ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς, «Ἔχετέ τι βρώσιμον ἐνθάδε;» **42** Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσείου[s] κηρίου.[t] **43** Καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν.

**44** Εἶπεν δὲ αὐτοῖς,[u] «Οὗτοι οἱ λόγοι[v] οὓς ἐλάλησα πρὸς ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ Νόμῳ Μωσέως[w] καὶ[x] Προφήταις καὶ Ψαλμοῖς περὶ ἐμοῦ.» **45** Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς. **46** Καὶ εἶπεν αὐτοῖς ὅτι «Οὕτως γέγραπται, καὶ οὕτως ἔδει[y] παθεῖν τὸν Χριστὸν καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, **47** καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ[z] ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον[a] ἀπὸ Ἱερουσαλήμ. **48** Ὑμεῖς δέ[b] ἐστε μάρτυρες[c] τούτων. **49** Καὶ ἰδού,[d] ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ᾽ ὑμᾶς· ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ[e] ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.»[f]

## Jesus ascends to Heaven

**24:50** Ἐξήγαγεν δὲ αὐτοὺς ἔξω[g] ἕως εἰς[h] Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτούς. **51** Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτούς, διέστη ἀπ᾽ αὐτῶν καὶ ἀνεφέρετο εἰς τὸν οὐρανόν. **52** Καὶ αὐτοὶ προσκυνήσαντες αὐτόν, ὑπέστρεψαν εἰς

---

[p] ταις καρδιαις **f**$^{35}$ אW [99.7%] CP,HF,RP,TR,OC ¦ τη καρδια 𝔓$^{75}$A,B,D,NU

[q] αυτος εγω ειμι **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓$^{75}$אB [0.4%] NU ¦ ~ 213 D

[r] επεδειξεν **f**$^{35}$ A,W [85%] CP,HF,RP,TR,OC ¦ εδειξεν 𝔓$^{75}$אB [15%] NU ¦ εδιξεν N ¦ one other variant ¦ D omits verse

[s] μελισσειου **f**$^{35}$ [30%] CP ¦ μελισσιου *rell* [see next note]

[t] και απο μελισσειου κηριου **f**$^{35}$ N (94%) CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אA,B,D,W (0.7%) NU ¦ 123 κηριον (4.8%) ¦ 123 κυριου (0.4%)

[u] αυτοις **f**$^{35}$ A(D)N,W [99%] CP,HF,RP,TR,OC ¦ προς αυτους 𝔓$^{75}$אB [1%] NU

[v] λογοι **f**$^{35}$ אW [97%] CP,HF,RP,TR,OC ¦ 1 μου 𝔓$^{75}$A,B,D,N [3%] NU

[w] μωσεως **f**$^{35}$ אA [88%] CP,HF,RP,TR ¦ μωυσεως 𝔓$^{75}$B,D,N,W [12%] OC,NU

[x] και **f**$^{35}$ A,D,N,W [99.6%] CP,HF,RP,TR,OC ¦ 1 τοις 𝔓$^{75}$B [0.3%] NU ¦ εν τοις א

[y] και ουτως εδει **f**$^{35}$ A,N [99.5%] CP,HF,RP,TR,OC ¦ 23 W ¦ --- 𝔓$^{75}$אB,C,D [0.5%] NU

[z] και **f**$^{35}$ A,C,D,N,W (99.4%) CP,HF,RP,TR,OC ¦ εις 𝔓$^{75}$אB (0.5%) NU ¦ two other variants (0.1%)

[a] αρξαμενον **f**$^{35}$ 𝔓$^{75}$A,W (94.8%) CP,HF,RP,TR,OC ¦ αρξαμενοι אB,C,N (1.1%) NU ¦ αρξαμενος (3.5%) ¦ αρξαμενων D (0.4%) ¦ two other variants (0.2%)

[b] δε **f**$^{35}$ A,D,N,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,C [0.5%] NU

[c] εστε μαρτυρες **f**$^{35}$ א [98%] CP,HF,RP,TR,OC ¦ ~ 21 C ¦ εσται 2 A,N,W [2%] ¦ 2 𝔓$^{75}$B,D,NU

[d] ιδου **f**$^{35}$ A,B,C,N(W) [99.5%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{75}$(א)D [0.5%]

[e] ιερουσαλημ **f**$^{35}$ A,W [99.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓$^{75}$אB,C,D [0.5%] NU

[f] δυναμιν εξ υψους **f**$^{35}$ A,D,W [99.5%] CP,HF,RP,TR,OC ¦ ~ 231 𝔓$^{75}$אB,C [0.5%] NU

[g] εξω **f**$^{35}$ A,D,W [99%] CP,HF,RP,TR,OC[NU] ¦ --- 𝔓$^{75}$אB,C [1%]

[h] εις **f**$^{35}$ A [97.5%] CP,HF,RP,TR,OC ¦ προς 𝔓$^{75}$אB,C,D [1%] NU ¦ --- W [1.5%]

Ἰερουσαλὴμ μετὰ χαρᾶς μεγάλης· **53** καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ, αἰνοῦντες καὶ[i] εὐλογοῦντες τὸν Θεόν. Ἀμήν.[j,k,l]

[i] αινουντες και **f**[35] A(D)W [99.6%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]ℵB,C [0.4%] NU

[j] αμην **f**[35] A,B [98.5%] CP,HF,RP,TR,OC ¦ --- 𝔓[75]ℵC,D,W [1.5%] NU

[k] In the colophons, **f**[35] [50%] have, "published fifteen years after the ascension of Christ". For 50% of the MSS to have this information probably means that the tradition is ancient; and of course, I have demonstrated, to my own satisfaction at least, that **f**[35] goes back at least to the 3rd century. If this information is correct, then Luke was 'published' in 45/46 AD. The same sources have Matthew published seven years earlier (38/39) and Mark five years earlier (40/41), while John was 'published' thirty-two years after the ascension, or 61/62 AD. Not only were the authors eyewitnesses of the events, but many others were still alive when the Gospels appeared. They could attest to the veracity of the accounts, but could also be the source of textual variants, adding tidbits here and there, or 'correcting' something that they remembered differently.

[l] The citation of **f**[35] is based on the following fifty-five MSS—18, 35, 128, 201, 204, 246, 361, 402, 479, 510, 547, 553, 586, 691, 757, 769, 781, 789, 824, 867, 897, 928, 1046, 1072, 1111, 1117, 1147, 1328, 1339, 1384, 1409, 1427, 1435, 1461, 1493, 1496, 1503, 1548, 1551, 1621, 1637, 1652, 1667, 1694, 1713, 2122, 2253, 2352, 2367, 2382, 2466, 2503, 2554 , 2765 and I.2110, all of which I collated myself. I also took account of 83, 480, 1247, 2322 and 2399 that were collated for the IGNTP Luke, without checking the collation (they also collated 66, a marginal family member, and 2096, out on the fringe). None of them is a 'perfect' representative of **f**[35] in Luke, as it stands [an unreasonable expectation, presumably, for a book this size, besides being a Gospel]. But several come very close; the exemplar of 789 probably was. [This refers to the MSS I have collated—there may be even better ones out there. In fact, since I have only collated perhaps 20% of the family representatives for this book, there probably are better ones out there.] The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Lesbos, Bucharest, Aegean, Andros, Athens, Tirana, Meteora, Mt. Athos [eight different monasteries], Corinth[?], Grottaferrata, Moscow, Modena, Vatican, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception.

In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there, I mainly depended on the IGNTP Luke (*The Gospel according to St. Luke*, ed. the American and British Committees of the International Greek New Testament Project. 2 vols. Oxford: Clarendon Press, 1984 and 1987). I occasionally supplemented from Swanson, Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources.

I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%—since my sources had collated a lower percentage of the extant MSS than *ECM* for the General Epistles, for example, my guesses as to percentages are more tentative than they were there, except that I guarantee the witness of **f**[35]. Please see the last footnote for Matthew for further information.